26. δασιτικὰ A; δυσαντικὰ R; δασύτερα C; densiora v. i.
31. ἐπιλαμβανόμενος A. Corr. R, C.
32. ἐπ᾿ ἀνθῆ(?) A; εἶτα R; maturi v. i. Corr. conj.

Καὶ ταύτης δὲ οἱ καυλοὶ κατὰ τὴν πρώτην ἐκβλάστησιν λαχανεύονται · εἰσὶ δὲ διουρητικοὶ καὶ καταμηνίων ἀγωγοί, σπληνὸς ἰαματικοί, ἁρμόδιοι σπληνικοῖς, μάλιστα αἱ ῥίζαι · καὶ πᾶσα δὲ ἡ βοτάνη ἁρμόδιος ἐπιληπτικοῖς καὶ σκοτωματικοῖς · ποιεῖ δὲ καὶ πρὸς τοὺς (f. 10 r.) τῶν ὑπορογίων λόφους ἑλκουμένους τὰ φύλλα σὺν οἴνῳ καταπλασθέντα, καὶ πρὸς στρέμματα καὶ παρέσεις καὶ καθόλου ὁμοίαν ἔχει τὴν δύναμιν τῆς πρὸ αὐτῆς.

28] Ἡ δὲ λευκὴ ἄμπελος ἔχει καὶ ἄλλας ἐνεργείας κοσμικὰς καὶ χαριεστάτας, ὥστε ἐν πότοις μὴ μόνον νηφάλαιον εἶναί τινα, ἀλλὰ καὶ εὐωχίαν ἔχειν.

29] Ἕως ἐνταῦθα μὲν ὁ Κυρανὸς οὕτως · ἀπὸ δὲ τῆς ἀνωτέρω γραφείσης τῶν ἀμφοτέρων διαφωνίας εἶχεν · ἐκεῖ οὕτως ὁ τοῦ Ἁρποκρατίωνος λόγος.

30] Μάκαιρα βοτάνη, τῶν θεῶν ἡγητεῖρα, γαίης κρατοῦσα, οὐρανοῦ καὶ ἀέρος, νόον λύουσα βοτρυοφόρῳ πότῳ, ὡς ἐπιλύειν πᾶν μέλος, ποιοῦσα δὲ ὕπνον, οὐδεὶς οὐ λόγῳ, οὐ σώματι ἰατήρ τις, (f. 10 v.) οὐδεὶς πρὸς σὲ δυνήσεται, ἀλλ' ἐλέγχεις ὅσα ἐν ψυχαῖς βροτῶν [τῶν] ἐγκρύφως ἔχουσιν μυστικὰς φρένας, τὴν ἀρρήτως ἔχων, ἄμπελε, πάντ' ἐκφανεῖς μόναις ὅσα γραφαῖς, ἢ φαρμάκοις γίνεται, ἢ φασγάνῳ, ἢ πελέκει ὅσα τοιαῦτα κρύβεται · ταῦτα μὲν λελέγθω ἀμπέλου μυστήρια. Ἔχει δὲ ἄλλα κοσμικά, ὡς ἐν βροτοῖς μὴ φαῦλον εἰπεῖν.

31] Λέγει δὲ οὕτως ἐντεῦθεν ὁ ἱερὸς λόγος, καθώσπερ [γὰρ] εἶχεν καὶ ἡ κυρανίς · Μάκαιρα ἐκ θεοῦ ἄνασσα, ἐκ θεοῦ βοτρυοφόρε μητὲρ ἁπάσης θείας φύσιος εὐαγοῦς ἐν φυτοῖς · τῇ πρώτῃ ἐάων ἱερεῖ · εὖ . . . ντο ὀλύμπιος οὖσα.

32] Ταῦτα εἴπας εἰς ποτήριον βάλε εἰς κεράμιον, ὅθεν πίνουσιν ἅπαντες, (f. 11 r.) καὶ ἀναλύουσιν εὐφρανθέντες, μηδενὸς συζητήσαντος.

33] Ἐὰν οὖν θέλωμεν φράσαι περὶ ἀμπέλου ὅσα δύναται, βιβλίον ὅλον οὐκ ἀρκέσεται ἡμῖν.

34] Πινόμενος γὰρ ὁ χυλὸς τοῦ βότρυος εὐωχίας μεγίστας ποιεῖται. Φύτευε αὐτὴν εἰς πάντα τόπον · οὔτε γὰρ ἑορτὴ θεῶν ἢ θνητῶν ἤδη πέρας ἐσχηκότων τοῦ βίου, ἢ

4. ὑπορογίων] Ita A, Amg. C; ὑπορροιῶν R; supereminentes carnes excisas v. i. F. l. ὑπορρωγίων (?) (mot supposé).
9. ὡς ταῦθα A; καὶ ταύτας R; sicut... v. i. Corr. conj. F. l. καὶ ταῦτα.
11. Titre dans R : Ὕμνος εἰς βρυωνίαν.
12. νόον] potestatem v. i.
13. προσὲ A, R, C; contra te v. i.
14. τὴν ἀρρήτως ἔχουσαν ἄμπελον R; redarguis quaecumque sunt in animis mortalium et quae absconditae habent mysteria mentis v. i. Tout ce § 30 offre un texte altéré.
17. Après εἰπεῖν] ἀλλὰ εὐ<ω>χίαν ἔχειν · λέγε C; quae mortalibus non sunt inutilia imo delectationem et gaudium praestant v. i.
18. γὰρ om. R, C. — ὁ Κυρανός C. Puis titre en rouge dans R : Ἕτερος ὕμνος εἰς βρυωνίαν. — A la fin de l'hymne, A mg. : πρὸς εὐωχίαν ὕμνος καὶ εὐφροσύνη.
20. ἐάων pour ἑήων, bonorum (?). — ἱερεῖ A (?), R. F. l. ἵδρει ? — ... ντο] piqûre de ver A; εὦς το ὀλ. R. — Rédaction de l'hymne dans C : Μάκαιρα ἐκ θεῶν ἄνασσα, μητὴρ θεῖα εὐηρεα ἐν φ. ἡ πρώτη εὖεα, ὄλυμπον οὖσα. — Dans v. i. : Beata a Deo donata Regina, ex Deo botrum ferens, mater sacerrima et divinior omnibus plantis, natura prima botrum affectat, botrus vinum cæleste fecit.

εἰς τὸν βίον ἐπεληλυθότων ἢ ἀπὸ σπορᾶς βίου ὁρμώντων, ἢ γεωργίας ἢ φυτείας, ἢ ἕτερόν τι τῶν ἐν βίῳ γιγνομένων δυνήσεται ἄνευ τοῦ φυτοῦ τούτου.

35] Ἔτι δὲ λείπει μοι περὶ τίνος κακοῦ δαίμονος, ὅς ἐστιν τεταρταῖος, ὡς ἐπιπέμπεται ἀνδράσι καὶ (f. 11 v.) γυναιξίν, ὑπὸ δεκανοῦ τοῦ πρώτου αἰγοκέρω μὴ ταχέως πειθομένου, διότι οὐ βλέπει οὔτε ἀκούει, ὑπάρχει γὰρ ἀκέφαλος.

36] Λαβὼν οὖν σταφίδας ἐχούσας γίγαρτα δ' ἐκκόκισον αὐτὰ τοῖς ὄνυξι, καὶ μὴ τῷ στόματι, καὶ βαλὼν αὐτὰ εἰς ῥάκος περίαπτε τῷ τραχήλῳ ἀγνοοῦντι ἁγνὸς ὤν, καὶ ἀπαλλάξεις Θεοῦ χάριτι.

37] Καὶ ὁ λίθος ὁ ἐκ τῆς κεφαλῆς τοῦ ἰχθύος περιαπτόμενος ἀπαλλάσσει τοὺς τετραΐζοντας.

38] Ἡ δὲ τοῦ Κυρανοῦ περὶ εὐφρασίας στήλη εἶχεν οὕτως· Ὦ θειοτάτη βοτάνη βοτρυοφόρε, ἄμπελος λευκή, ἡ μητὲρ τῶν βοτανῶν, εὔδιε κυδαληφόρε, γῆς ἐν φυτοῖς ἡ πρώτη. Λέγε εἰς ποτήριον τοὺς (f. 12 r.) λόγους τούτους· ε υ η ι εὐοινὸν (sic?), φρενῶν μου τήρησον ἀβλάβειαν εἶναι ε υ η ι ε̃, ὀλυμπία οὖσα, συντήρησόν μου νοὸς φρένας, εὔθυμος οὖσα, καὶ θειοτάτη καὶ ὑγιής. Ὑι εὖ ἀὲ ιαυῶ αέ κιεῶ· εάωε. Ταῦτα εἰς ποτήριον οἴνου ἐπειπών, βάλε εἰς κεράμιον οἴνου, ὅθεν πίνουσιν ἅπαντες καὶ ἀναλύουσιν ἅπαντες εὐφρανθέντες οἱ φίλοι, μηδενὸς συζητήσαντος.

39] Λαβὼν οὖν ἀετίτην λίθον γλύψον ἀετόν, καὶ ὑπὸ τὸν λίθον ὑπόθες γίγαρτον σταφυλῆς, καὶ τὸ ἄκρον τοῦ πτεροῦ τοῦ ἀετοῦ εἴτε ἱέρακος, καὶ κατακλείσας φόρει· διαφυλάξει σε γὰρ ἀπὸ πάντων τῶν (f. 12 v.) προειρημένων παθῶν. Ἔτι μὴν καὶ ἀξιόλογον καὶ προσφιλῆ συντυχίαις δυναστῶν, καὶ μεγάλων ἀνδρῶν καὶ περιεχόντων χάριν παρέξει· καὶ ἐπὶ ἑτέρων πολλῶν [ἄλλων] ὧν οὐ χρεία ἐστὶν λέγειν ποιήσει, καὶ οὕτως πέρας εἴληφεν τὸ πρῶτον στοιχεῖον ἄλφα.

2. δυνηθήσεται A. Corr. R, C.
7. τῷ τραχήλῳ] βραχίονι δεξιῷ C.
10. τετραΐζοντας A partout; τεταρταΐζοντας R, C.
11. A mg. : Ὕμνος εἰς εὐφρασίαν πρὸς αὐτήν. Titre dans R : Ὕμνος εὐφρασία εἰς αὐτήν. Le § 38 manque dans C et dans v. i.
12. κυδ. *vel* κριδαληφόρε ? A ; κὴ βοληφόρε R. F. l. κυδεληφόρε ? Cp. οὐσιριφόρ<ος> chez Wessely, Neue griechische Zauberpapyri, p. 55, ligne 1043.
13. εὐοινὸν] F. l. εὔοινον.
15. ευεῖ ευαε ιαύω ηιαῶ ἡ ἀυὲ R. Sur le chant des sept voyelles grecques, voir mes deux notes dans la *Revue des études grecques*, t. II, 1889, p. 38 et 393.
18. Titre dans R : ἀποτέλεσμα γλυ<πτικόν> en tête du § 39 et, sauf avis spécial, en tête de tous ceux où est décrite la gravure d'une pierre-amulette.
19. Après φορεῖ] Rédaction de R : Τοῦτο δόκιμον θεραπευτικὸν (puis avec A mg.) : εἰς πᾶν πάθος καὶ εἰς τὸ εἶναί σε ἀξιόλογον καὶ πρὸς συντυχίας (φιλίαν A) μεγάλων ἀνδρῶν καὶ ἀξιότιμον ἄρχουσιν, καὶ περίδοξον. (R seul) : διαφυλάξει σε γὰρ ἀπὸ τῶν προειρημένων παθῶν καὶ περιεχόντων, κ. τ. λ.

ΣΤΟΙΧΕΙΟΝ ΤΟ Β.

1] Βράθυος, βοτάνη ὁμοία κυπαρίσσου.

Βρύσις, ὄρνεον ὅ ἐστιν κορώνη.

Βήρυλλος, λίθος λευκός.

Βύσσα, ὅ ἐστιν κάραβος.

2] Ἡ θεόγνωστος δενδρικὴ καλουμένη ὁμοία κυπαρίσσῳ · καλεῖται δὲ βράθυ, αὕτη θυμιᾶται τοῖς θεοῖς ἀντὶ λιβάνου.

Βρύσις, κοινὸν ζῶόν ἐστιν κορώνη ζῶν (f. 13 r.) ἐτῶν ἕως φ'.

Βήρυλλος, λευκὸς λίθος πολύγνωστος καὶ βαρύτιμος.

Βύσσα ἐστὶν κάραβος θαλάσσιος · ἐκλήθη δὲ βύσσα διὰ τὴν ὁμοιότητα τῶν βυσσάλων.

3] Πρὸς οὖν δυσπνοϊκοὺς καὶ ὀρθοπνοϊκοὺς καὶ ἀσθματικοὺς βράθυος <ο α', βουτύρου <ο δ', μέλιτος γο β'. Ἔκλεγμα ποιήσας νήστει δίδου.

4] Τοῦ δὲ καράβου οἱ ὀφθαλμοὶ περιαπτόμενοι ἰῶνται τὸ πάθος.

5] Τῆς δὲ κορώνης τοῦ πτηνοῦ ἡ φύσις ἐστὶ τοιαύτη · ἐὰν γὰρ ἡ θήλεια τελευτήσῃ, ὁ ἄρρην ἑτέρᾳ οὐχ ἅπτεται. Ὁμοίως δὲ καὶ ἡ θήλεια τὸ αὐτὸ ποιεῖ. Ὁ δὲ ἀνὴρ ἐὰν φορήσῃ τοῦ ἄρρενος τὴν καρδίαν, ἡ δὲ γυνὴ τῆς θηλείας, εὐνοήσουσιν ἑαυτοῖς τὸν ἅπαντα τῆς ζωῆς αὐτῶν χρόνον · τοῦτο ἀνυ- (f. 13 v.) πέρβλητον θαῦμα.

6] Λαβὼν οὖν βηρύλλιον λίθον, γλύψον κορώνην καὶ ὑπὸ τοὺς πόδας αὐτῆς κάραβον · καὶ κατακλείσας βράθυ βραχὺ καὶ ὀλίγον τῆς καρδίας τοῦ πτηνοῦ καὶ τὴν λεγομένην ἀφροδίτην τοῦ καράβου, καὶ φόρει ὡς βούλει.

7] Ποιεῖ γὰρ πρὸς δυσπνοϊκούς, ἡπατικοὺς καὶ νεφριτικούς · ἔστιν γὰρ Διὸς θεοῦ ὁ λίθος. Τὸν δὲ φοροῦντα ποιήσει ἐπίχαριν, ἐπιτευκτικὸν εἰς ὃ ἂν ἐπιβάληται, ποιεῖ δὲ καὶ εὔνοιαν εἰς τοὺς γαμοῦντας, καὶ ὁμόνοιαν εἰς τὰ ἀνδρόγυνα ὡς λίαν κάλλιστον.

1. Titre dans C : Ἀρχὴ τοῦ βῆτα στοιχείου · κεφαλαῖον δεύτερον.

2. F. l. βράθυ. — κυπαρίσσου] κυπαρίττῳ R, puis : λεπτόφυλλος καὶ βοστρυχώδης οὖσα τοῖς φύλλοις καὶ ἀκανθώδης δρυμοῦ πειρατική, ἣ σὺν οἴνῳ ποθεῖσα ὁδοποιήσει τὰ νεμόμενα, ἢ προστεθεῖσα ἔμβρυα κατασπᾷ καὶ διὰ οὖρον αἷμα ἄγει. — A mg. : Λεπτόφυλλον, κυπαρισσοειδές, βοστρυχῶδες ὂν τ. φ. κ. ἀκανθωδέστερον δρυμοῦ, πιρωτικόν (f. l. πυρρωτικὸν). Ὁδοπ. τ. νεμ. σ. ο. ποθέν · ἢ προστεθὲν ἔ. κ. καὶ δι' οὖρον α. ἄγει. — Les lignes 2-7 manquent dans le v. i.

3. βρύσις] βρίσης C ; βοροσίτης v. i.

8. φ'] φνα' R. quingentos v. i. F. l. ρ'.

9. λευκὸς λίθος, πολύτιμος, γνωστός R.

11. βησάλων A ; βησὰ R ; βισάλων C. Corr. conj. — Propter similitudinem et colorem βησάλων, i. tegularum, scil. rubearum v. i.

13. εἴληγμα A. Corr. R.

23. ἐπιστευτικὸν A ; ἐμπιστευτικὸν R ; ἐπιτευτικὸν C ; divitem v. i. Corr. conj.

ΣΤΟΙΧΕΙΟΝ Γ.

1] Γλυκυσίδη, βοτάνη · οἱ δὲ παιωνίαν.

Γλαῦκος, πτηνόν.

Γνάθος, λίθος.

Γλαῦκος, ἰχθὺς ὁ πασίγνωστος.

2] Γλυκυσίδη βοτάνη ἐστὶν ἡ παιωνία · ἐκλήθη (f. 14 r.) δὲ παιωνία διὰ τὸ τὸν παίωνα αὐτὴν εὑρηκέναι · ἔχει δὲ καρπὸν ὡσεὶ στύρακα ἀμιγδάλης. Τὰ μὲν οὖν ἀποστήματα αὐτῆς ἐστιν μεμυκότα, ἃ δὲ κεχηνότα.

3] Ἔστι πτηνὸν τοῦτο ὅπερ τῇ Ἀθηνᾷ ἀναγράφεται · βασίλειον ἔχει ἐπὶ τῆς κεφαλῆς πτερωτόν, ὀφθαλμοὺς δὲ νυκτικόρακος μεγάλους, ἐν ἀγροῖς διατρίβων.

4] Γνάθος λίθος ἐστὶν σκληρὸς ὡς μυλίτης ὁμοίως γνάθου.

5] Γλαῦκος, ἰχθὺς θαλάσσιος πασίγνωστος.

6] Τῆς οὖν βοτάνης εἴδη εἰσὶν δύο, ἡ μὲν ἀρρενική, ἡ δὲ θηλυκή.

7] Ἐὰν οὖν γυναικὸς μὴ κατέχῃ μήτρα τὸ ἐσπαρμένον, θέλῃ δὲ συλλαβεῖν, < λαβὼν > θεῖον βλάστημα, περιζωννύσθω καρπὸν μεμυκότα, δήσας αὐτὸν ἐν ῥάκει λινῷ βεβαμμένον (f. 14 v.) ἑπτὰ χροιάς, περὶ τὸ ἦτρον δὲ ζωννύσθω.

7 *bis*] Ἐὰν θέλῃς μὴ τίκτειν γυναῖκαν, μολύνας κρίθας εἰς τὰ καταμήνια αὐτῆς δὸς μήλου φαγεῖν, καὶ οὐ τίκτει ποτέ. Ὁμοίως καὶ ἄνθρακας ζῶντας σβέσον εἰς τὰ ἄμηνα αὐτῆς, καὶ οὐ τίκτει. Ἂς ἄρῃ δεόντως ἄνθρακα, καὶ φύλαττε · ὅταν δὲ θέλῃς πάλιν τίκτῃ, ἂς ἄψῃ αὐτὸν ἐν πυρί, καὶ τίκτει.

8] Εἰ δὲ οὐ συλλαβεῖν ἐθέλει, τοῦ κεχηνότος σπέρματος τῆς γλυσίδος τῆς βοτάνης μετὰ ῥύπου ὠτὸς ἡμιόνου περιαπτέσθω ἐφ' ὅσον ἂν θέλῃ χρόνον.

9] Εἰ δὲ ἐν ὠδῖσίν ἐστιν τίκτουσα καὶ ἔχει κίνδυνον, κεχηνὸς σπέρμα τῆς βοτάνης εἰς ἔλαιον βαλὼν ἄλειφε τὴν ὀσφὺν καὶ τὸ ὑπογάστριον, καὶ ἀλύπως τέξεται.

10] Ἐπιθυμιωμένη δὲ ἡ ῥίζα ἢ ποτιζομένη δαίμονας ἀπελαύνει καὶ φαντάσματα πάντα φορουμένη.

11] Γλαύκου οὖν τοῦ ὀρνέου καὶ γλαύκου τοῦ ἰχθύος τοὺς ὀφθαλμοὺς λειώσας μεθ' ὕδατος ὀλίγου θαλασσίου ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ. Κάλλιον δέ ἐστιν καὶ τὰς χολὰς

6. Après παιωνία] οἱ δὲ πετνόροβον C.

10. A mg. (addition byzantine) : Πρὸς τὸ γνῶναι γυναῖκα ἢ (l. εἰ) ἄρρεν τίκτει ἢ θῆλυ. Τὸ γάλα αὐτῆς βαλὼν εἰς ὕδωρ, ἐὰν ἐπιπλεύσει (*sic*), θῆλύ ἐστιν · εἰ δὲ βουλήσῃ, ἄρρεν. — Βουλήσῃ, de βουλῶ, néo-grec, synonyme de βυθάω.

16. βεβαιωμένον A; βεβαμένον R. Corr. conj. (F. l. βεβαμμένῳ.) — ἶτρον A; ὕστρον R. Corr. conj.

17. notre § 7 *bis* est une addition byzantine (témoin les formules ἂς ἄρῃ, ἂς ἄψῃ) placée sur les marges supérieure et de droite du ms. A.

18. μήλου] f. suppl. <μετὰ> μήλου.

22. ἐφ' ὅσον κἂν θέλει A. Corr. conj.

25. Après ποτιζομένη] C ajoute : νεκρὰ ἔμβρυα κατασπᾷ.

(f. 15 r.) τῶν ἀμφοτέρων συλλειῶσαι καὶ ἐπιτιθέναι ἐν ἀγγείῳ ὑελίνῳ καὶ ἀποθέσθαι.

12] Ὅταν οὖν θέλῃς θαυμάσαι τὴν δύναμιν τῆς φύσεως, γράψον ἐκ τοῦ προειρημένου ὑγροῦ κολλουρίου ἐν καθαρῷ ἀγράφῳ χάρτῃ, καὶ ἡμέρας οὐχ ὁρασθήσεται, σκοτείας δὲ γεναμένης ἀναγνωσθήσεται τὸ γραφέν. Εἰ δὲ εἰς τοῖχον θέλῃς ζωγράφεσθαι ζῴδιον ὅσον θέλεις καὶ νυκτὸς γενομένης, οἱ θεωροῦντες ἐν τῇ σκοτείᾳ φεύξονται, δοκοῦντες δαίμονας ἢ θεοὺς εἶναι.

13] Ἐὰν δέ τις εἰς γνάθιον λίθον γλύψῃ γλαῦκα τὸ ὄρνεον καὶ ὑπὸ τοὺς πόδας γλαῦκαν τὸν ἰχθύν, τούτου δὲ τοὺς ὀφθαλμοὺς ὑποκατακλείσας φορήσει, ἀπεχόμενος χοιρείου κρέατος (f. 15 v.) καὶ πάσης ῥυπαρίας, σκοτείας δὲ γεναμένης φανήσεται γενναῖος ὡς ἄνθρωπος · δόξουσιν γὰρ οἱ ὁρῶντες ἔνθεόν σε εἶναι · εἰς δὲ τὴν ἡμέραν ὃ ἂν εἴπῃ πιστευθήσεται, εἰς κοίτην δὲ φορούμενος ὅραμα ἀληθὲς δείκνυσιν.

ΣΤΟΙΧΕΙΟΝ Δ.

1] Δρακόντιος, βοτάνη.
Δενδροκολάπτης, πτηνόν.
Δράκων, ἰχθύς.
Δενδρίτης, λίθος εὔγνωστος.

2] Δρακόντιος βοτάνη ἐστὶν ἔχουσα σπέρμα ὡς ὀφθαλμοὺς δράκοντος, φύλλα πλατέα, πονηρὰ δὲ ἐν παντί.

3] Δενδροκολάπτης πτηνόν ἐστι πασίγνωστον τῷ μεγέθει ὡς ὄρτυξ. Κολάπτει δὲ τὰς δρῦς, ἐλάτας τε καὶ καρύας, ἵνα νοσσεύσῃ ἔνδον τοῦ στελέχους.

4] (f. 16 r.) Δράκων θαλάσσιός ἐστιν ἰχθὺς ἀλέπιδος ἀληθῶς · ἐὰν ὑπερμεγέθης γένηται καὶ θελήσει δυναστεύειν, τοῦτον ἁρπάζουσιν αἱ νεφέλαι εἰς τὸν ἀέρα καὶ ῥίπτουσιν εἰς τὰ ὄρη, κατὰ μέλος αὐτοῦ διαιρουμένου ὅπως μὴ ὑπάρχῃ. Ἡ δὲ γλῶσσα αὐτοῦ οὖσα διδυμωτή, ὡς θρὶξ ἱππεία παμμεγεθής, ἔχουσα μῆκος δακτύλων δύο, ἣν περιβαλὼν εἰς ἔλαιον, ἔχε. Περιαπτόμενος παισὶν ἀβασκάντους καὶ ἀνόσους τηρήσει.

5] Εἶδον δὲ τὴν ἱστορίαν ταύτην ἐν τοῖς παραθαλασσίοις τόποις τῆς Συρίας <καὶ> τῆς Ἀσσυρίων χώρας.

4. ἀγράφῳ] glose de καθαρῷ interpolée?
13. Titre dans C : Ἀρχὴ τοῦ Δ στοιχείου · κεφάλαιον δ'.
15. δρυοκολάπτης R (variante constante). — Après εὔγνωστος] addition en marge de A (presque illisible) et dans le texte de R : Δρακοντίαι δύο εἰσίν, ἡ μία ἀγρία, ὑπερεκνός (πρεκνός A), καὶ ἡ ἑτέρα οἰνοβίκη, ὅ ἐστιν τὸ ἀγριολάχανον ἢ καὶ ἁρμινολάχανον · ἥδε βοτάνη ὅμοιον δρακόντων ἔχουσα τὸ σπέρμα καὶ ὀφθαλμοὺς δρακοντιαίους (δρακοντικοὺς A) · αὕτη δὲ λέγεται κρεῖττον ἡ χολοβοτάνη, ἣ ἔχει τὰ φύλλα πλατέα ὅμοια πλατάναις. Ἐκ τοῦ σπέρματος αὐτῆς τῆς βοτάνης ἐξέρχεται τὸ κόκκινον ἔλαιον ὃ δρκολάχανον καὶ δρακοντία καλεῖται.
19. A mg. : ὁ παρὰ Λατίνων σερπεντάρια.

6] Δενδρίτης λίθος ἐστὶν ὃς γινώσκεται ὑπὸ πολλῶν, παρόμοιος κοραλλίῳ. Οὗτος φύεται ἐν τῇ Ἰνδικῇ παρὰ τοὺς πετρώδεις τόπους τῆς θαλάσσης, ἔχων ὕψος ὡσεὶ δακτύλων ἕξ.

7] (f. 16 v.) Τῆς οὖν δρακοντίου βοτάνης τὸ σπέρμα φορούμενον ὀξυωπίαν παρέχει · κεφαλαλγίας ἀπαλλάσσει ἀλγούσας βραχύ.

8] Πτερὸν δὲ τοῦ ζώου μετ' ὀλίγου <τῆς βοτάνης> κεφαλαλγίαν καὶ ἡμικρανίαν ἀπαλλάσσει περιαπτόμενον.

9] Ὁμοίως πτερὸν τοῦ ζώου καὶ ὀλίγον τοῦ ἰχθύος κοπέντα καὶ λειωθέντα περιαπτόμενα πᾶσαν κεφαλαλγίαν ἰᾶται ταχέως.

10] Ἵνα οὖν μὴ πλανώμεθα πρὸς τὴν δυσπορίαν τοῦ μεγάλου δράκοντος, ἀλλὰ τὰ γινόμενά ἐστιν δρακόντια μικρά, ὡσεὶ παλαιστῶν δύο εἰς ὕψος ἰχθυώδη πιπρασκόμενα, τούτοις χρησόμεθα ἀντ' ἐκείνων.

11] Πρὸς οὖν τὰς ἀλγηδόνας τῆς κεφαλῆς καὶ ἀρχὴν ἐλεφαντιάσεως, καὶ κελεφίας καὶ λευκασίας τὰς περὶ τὸ σῶμα (f. 17 r.) γιγνομένας, καὶ πᾶσαν τὴν κακίστην λέπραν, τὸ στέαρ τῶν δρακόντων μετὰ χυλοῦ τῆς βοτάνης κατάχριε πρωὶ καὶ ὀψέ.

12] Ἐὰν οὖν τις σφηνώνῃ τὴν νοσσιὰν τοῦ δενδροκολάπτου, φέρει βοτάνην αὐτὸς ἣν γινώσκει, καὶ προσαγαγὼν ἀνοίγει · εἰ μὲν γὰρ πηλῷ ἀποφράττεται, ὁ πηλὸς καὶ πεσεῖται · εἰ δὲ λίθῳ, ὁ λίθος πηδᾷ · εἰ δὲ σανίδι καὶ ἥλοις, ἐξηλωθὲν πεσεῖται · εἰ δὲ σιδηρῷ πετάλῳ καὶ ἥλοις, διαρραγήσονται · μόνον γὰρ παραθιγὼν ἐκεῖ τὴν βοτάνην ἀνοίξει ἅπαντα ταῦτα παραυτά, καὶ αἴρει τὰ νοσσιὰ αὐτοῦ. Ἐὰν οὖν τις τὴν βοτάνην ταύτην ἐπιτύχῃ, πρὸς πολλὰ ποιήσει ἃ οὐκ ἔξεστιν λαλεῖν, ὡς φύσις θειοτάτη, ἃ οὐδεὶς τελέσειεν ἀνδρῶν.

13] Ἐάν τις γλύψῃ εἰς δενδρίτην λίθον τὸν δενδροκολάπτην (f. 17 v.), ὑπὸ δὲ τοὺς πόδας αὐτοῦ δράκοντα θαλάσσιον, καὶ ὑποκατακλείσας τὴν εὑρισκομένην βοτάνην ὑπὸ τοῦ δενδροκολάπτου, καὶ φορήσει, πᾶσα θύρα αὐτῷ ἀνοιγήσεται καὶ δεσμοὺς καὶ κλεῖθρα λύσει · ἄγρια θηρία αὐτῷ ὑποταγήσεται καὶ ἡμερωθήσονται, ἀνθρώποις τε πᾶσιν ἔσται ἠγαπημένος καὶ εὐάκουστος, καὶ ὅπερ ἂν θέλῃ ἐπιτεύξεται, καὶ ὃ βούλεται περιγενήσεται.

14] Λέγετε δὲ καὶ τὸν ὕμνον εἰς τὸν τρισμέγιστον Ἑρμῆν, ὅς ἐστιν πάσης σοφίας καθηγητὴς καὶ λόγων ἡγούμενος, καὶ πάσης τέχνης σοφώτατος παροχεύς, καὶ ἀστέρων ὁ θαυμαστότατος.

15] Μακάρτατε θεῶν Ἑρμῆ, μέροψ ζῶόν ἐστιν θεῶν ἄγνωστον · αὐτῶν δ' αὖ φύσις · γένος γὰρ ἀνδρῶν τις εὗρε τοῦτο; οὐδείς, ἀλλὰ πταίσει. Σὺ σοφὸς ὢν φέρων φρενήρης (f. 18 r.) μετέδωκας ἐν τῇ στήλῃ · ἥδε ἡ φύσις · φορῶν δὲ μαθήσεις τὰ

9. περιαπτόμενα] περιχριόμενα C.
16. σφινώνῃ A ; σφιγγάνῃ R. Formes byzantines ?
22. F. l. ὦ φύσις θειοτάτη.
26. θεοῖς τε καὶ ἀνθρώποις (τε πᾶσιν om.) C.
29. λέγεται A. λέγεται... ὕμνος R. Corr. conj. — Rédaction du v. i. : Mercurius maledictissimus paganus, etc. (Voir la suite dans la Préface.)

ἐν θεοῖς, ὄντα τε κλεῖθρα ἀνοίξεις καὶ δεσμοὺς λύσεις πάντας · θῆρας δὲ πάντας ἡμερώσεις, βουλήματι τοῦ ἐν οὐρανοῖς κῦμα δῖνον παύσεις ἀγριούμενον · ἅπας δὲ δαίμων φεύξεταί σε πάντοτε, ἀγαθὸς δὲ φανήσῃ πᾶσιν ἀνθρώποις μόνος.

16] Τραπήσομεν δὲ ἐφ' ἑτέραν συμβουλίαν · εἰ δὲ ὡς εἰκὸς μὴ εὑρέθῃ ἡ βοτάνη εἰς τὴν νοσσιάν, ἀνοίξας ὑποκατάκλειε τῷ γεγλυμμένῳ λίθῳ ἀκρόπτερον τοῦ πτηνοῦ καὶ τὴν καρδίαν, καὶ κόκκωνα τοῦ σπέρματος τῆς δρακοντίου βοτάνης καὶ λίθον ἢ μύελον τοῦ ἰχθύος · οὗτος γὰρ φορούμενος ὀξυωπίαν παρέχει, καὶ κεφαλαλγίαν ἰᾶται, καὶ ἁπλῶς εὐπαθῆ ἕνεκεν τῆς κεφαλῆς (f. 18 v.) καὶ τῶν ὀφθαλμῶν ποιεῖ τὸν φοροῦντα · ἔτι δὲ καὶ ἐπιτευκτικὸν καὶ φοβερὸν παρὰ πᾶσιν ἀνθρώποις δείκνυσιν.

ΣΤΟΙΧΕΙΟΝ Ε.

1] Εὔζωμος, βοτάνη.
Εὐβοή, πτηνὸν ὅ ἐστιν ἀηδών.
Ἐχῖνος, ἰχθυώδης.
Εὔανθος λίθος ἐστί.

2] Εὔζωμος βοτάνη ἐστὶν ἐσθιόμενον λάχανον παρὰ πᾶσι γνωστόν. Εὐβοὴ πτηνόν ἐστιν ἀηδὼν ὑπὸ πάντων γινωσκόμενος. Ἐχῖνος θαλάσσιος ὑπὸ πάντων γινωσκόμενος. Εὔανθος λίθος ἐστὶ πάγχρυσος · οὗτος ἀνῆκε τῇ Ἀφροδίτῃ, ὅτι πολύχρωμός ἐστι.

3] Τὸ οὖν εὔζωμον θερμαίνει · ἐπιπλάνη ἐστι παρὰ πολλοῖς μὴ νοοῦσι τὰς φύσεις μιᾶς ἑκάστης βοτάνης. Τὸ οὖν εὔζωμον καὶ τὸ πήγανον καὶ τὸ ἁγνὸν οἱ ἱερεῖς ἐσθίουσιν ἁγνείας χάριν. Τὸ μὲν γὰρ χλωρὸν εὔζωμον ψύχει τὰς συνουσίας, καὶ οὐκ ἐᾷ πολλὰ συνουσιάζειν, οὔτε πυκνῶς ὀρθιᾶν, οὔτε ὀνειριάζειν · διὸ οἱ ἐν τοῖς ἱεροῖς προσιόντες ἱερεῖς τοῦτο πυκνῶς ἐσθιόμενον παρ' αὐτῶν οὐ συγχωρεῖ ὀνειριάζειν.

4] (f. 19 r.) Τούτου τοῦ σπέρματος <ο δ΄, πέπεριν <ο δ΄, μετὰ μέλιτος πρωὶ καὶ ὀψὲ λαμβανόμενος ὅσον δακτύλων β΄ ὀρθιᾶν ποιεῖ.

5] Ἐὰν δέ τις τὴν ἡλικίαν ἐστὶ προβεβημένος καὶ τὸ μόριον ἔχῃ παρειμένον, ποιείτω τοῦτο · εὐζώμου σπέρματος <ο ις΄, κυμίνου <ο η΄, πέπεριν <ο δ΄, ἀνδράχνης σπέρματος <ο β΄, λεῖα <σὺν> μέλιτι ἀναλαβὼν δίδου ὀψὲ καὶ πρωί · Τοῦτο ἀσύγκριτόν ἐστιν.

1. ὄντα τε] F. l. πάντα τε.
6. κόκονα A ; κόκκον ἓν R. Corr. conj. F. l. κόκκον α΄.
9. ἐπιτευτικὸν A, R. Correxi.
10. Titre dans R, C : Ἀρχὴ τοῦ Ε στοιχείου. — κεφάλαιον ε΄ add. C.
13. ἰχθυώδης] ἰχθύδιον R, f. mel.
18. Après ἐστι] addition de R : καὶ ἀερώδης ἤως (l. ἤτοι) κυανὸς ἔχον (f. l. κυάνεος, ἔχων) χρυσᾶς ἶνας.
22. F. l. πολλάκις.
27. προβεβηκὼς R, f. mel.
28. τοῦτο τὸ σύνθεμα · τοῦ εὐζώμου... R.
29. ταῦτα λεῖα σὺν μέλιτι R.

6] Τοῦ <δὲ> ἀηδόνος οἱ ὀφθαλμοὶ καὶ ἡ καρδία περιαπτόμενοι ἐν κραβάτῳ ἀύπνους ποιοῦσι τοὺς ἀνακειμένους.

7] Ἐὰν δέ τις λειώσας δῴη τινὶ πιεῖν λάθρα, ἄυπνος ἀποθανεῖται · λύσιν δὲ οὐκ ἔχει.

8] Ἐχίνου θαλασσίου τὸ μεσομφάλιον ἐὰν λειώσας δώσεις ἐπιληψίᾳ πειραζομένοις, παραυτίκα κουφηθήσονται · δίδου δὲ μόνον μετὰ μέλιτος πλειστάκις.

9] Εἰς δὲ τὸν εὐάνθη λίθον τὸν πάγχρυσον γλύφεται Ἀφροδίτη τὰς τρίχας καὶ τοὺς πλοκάμους τῆς κεφαλῆς ἀναδεσμουμένη, καὶ ὑποβάλλεται ῥίζα τῆς (f. 19 v.) βοτάνης καὶ ἀηδόνος γλῶσσα, καὶ κατακλείσας φόρει, καὶ ἔσῃ πᾶσιν ἀνθρώποις φιλητὸς καὶ γνωστός, καὶ ἡδύλαλος οὐ μόνον ἀνθρώποις, ἀλλὰ καὶ θηρίοις καὶ δαίμοσιν · πᾶν δὲ θηρίον φεύξεταί σε.

ΣΤΟΙΧΕΙΟΝ Ζ.

1] Ζμῖλαξ, βοτάνη.

Ζῶκος, πτηνόν.

Ζμύρνα θαλασσία.

| Ζμάραγδος, λίθος τίμιος, πράσινος.

2] Ζμῖλαξ ἐστὶ βοτάνη ἰσχυροτάτη ὡς κισσόφυτον · ἐὰν δέ τις στέψῃ μετ' αὐτοῦ γυναῖκα δυστοκοῦσαν, παραυτὰ τέξεται ἀπόνως.

3] Ἐὰν δὲ ἐν ταῖς καθάρσεσι δυσκολαίνῃ τις μετ' ἀλγηδόνων, καὶ περιζώσας αὐτὴν τὴν βοτάνην, καθαρθήσεται ἀπόνως.

4] Ἐὰν δὲ τοῦ χυλοῦ τῶν φύλλων κο. α´ καὶ μέλιτος γο. α´ μίξας δώσεις ὑδρωπικῷ, ἀκινδύνως κενωθήσεται (f. 20 r.). Γυνὴ δὲ γευσαμένη αἱμορραγήσει.

5] Ζῶκός ἐστι πτηνόν · οἱ δὲ ζώγιόν φασι, οἱ δὲ ἅρπην. Ἔστι δὲ εἶδος λευκοῦ γυπὸς νεκροβόρου.

Ζμύραινα θαλασσία γνωστὴ πᾶσιν.

Ζμάραγδος, λίθος πᾶσι γνωστός.

6] Τῆς οὖν ἅρπης τὸ ἔντερον ἐὰν δώσεις τινὶ φαγεῖν ἐν βρώματι, ὁ τοῦτο λαβὼν ῥαγήσεται ἐσθίων · ἔσται γὰρ ἀχόρταστος.

1. δὲ add. R. C.
3. λάθρα ∾ ἔχει] ποιήσει ἀποθανεῖν αὐτὸν καὶ λύσιν οὐκ ἔχει R.
12. Le ms. R place ici le texte Ἔποψ ∾ ἐτέλεσεν intercalé dans A entre les lettres H et Θ (lettre H, §§ 11-19).
13. Titre dans C : Ἀρχὴ τοῦ Ζ στοιχείου · κεφάλαιον ς´.
15. ζαῦκος C, partout.
18. κισσόφυτον] χρυσόφυτον R. F. l. κισσόφυλλον.
23. γυνὴ δὲ τούτω (l. τοῦτο) γευσαμένη R, f. mel.
24. οἱ δὲ ζύγγιον καλοῦσι R.
28. δώσεις] δόσις A; δώεις R; δόῃς C. Correxi.

7] Τὸ δὲ κωλέντερον τοῦ πτηνοῦ ἐὰν δῴης λεῖον πιεῖν ἢ ὀπτὸν φαγεῖν κωλικῷ, τελείως σωθήσεται.

8] Στέαρ δὲ συγχριόμενον μετ' ἐλαίου μύρου τετραΐζοντας ἀπολύει · κόπρος δὲ λέπρας παύει μετ' ὄξους καταχριομένη · τὸ δὲ ἧπαρ διδόμενον ὅσον ἂν βούλῃ φθείρει τὰ ἔντερα πάντα.

9] Ὁ δὲ ζμάραγδος λίθος ἐστὶν χλωρός, βαρύτιμος.

Γλύψον (f. 20 v.) οὖν ἐν αὐτῷ τὴν ἅρπην, καὶ ὑπὸ τοὺς πόδας αὐτοῦ τὴν ζμύραιναν, καὶ ὑπὸ τὸν λίθον κατάκλεισον <τὴν> ῥίζαν τῆς βοτάνης, καὶ φόρει πρὸς ταραχώδη ἐνύπνια καὶ θάμβη καὶ ὅσα σεληνιαζομένους ἀνῆκε · παύει καὶ κωλικούς. Κάλλιον δὲ εἰ καὶ στέαρ ζμυραίνης ὑποβληθῇ · τοῦτο ἔνθεόν ἐστιν.

ΣΤΟΙΧΕΙΟΝ Η.

1] Ἠρύγγιος, βοτάνη.

Ἡλίου ζωή, ὁ φαινικόπτερος.

Ἡφαιστίτης, λίθος.

Ἡδονίς · οἱ δὲ ἀφύδιον.

2] Ἠρύγγιος βοτάνη ἐστὶν ὡς κάλαμος φυομένη, ἀκανθώδης, ἣ καὶ γοργόνιος λέγεται, δυνάμεως ἔχεται τοιᾶσδε · ἐὰν γάρ τις τὴν ῥίζαν φορῇ, δαίμονος πεῖραν οὐχ ἕξει ποτέ.

3] Ἐὰν δέ τις πνεῦμα ἔχῃ ἀερῶδες, τὴν δὲ ῥίζαν ὑποθήσει ὑπὸ τὰς ἐσθῆτας αὐτοῦ, (f. 21 r.) ἐξομολογήσεται ὁποῖός ἐστι καὶ πόθεν καὶ φυγάδευθήσεται · ξένος, γὰρ ὤν.

4] Ἡ δὲ ὅλη βοτάνη σὺν ταῖς ῥίζαις ποτιζομένη <ἐν> ὕδατι καὶ μέλιτι κωλικοὺς παύει.

5] Ἐὰν δὲ μετ' οἰνομέλιτος ἐκζεσθῇ, καὶ ποτίσῃς λιθιῶντας, στραγγουριῶντας καὶ νεφριτικούς, ἀπαλλάξεις τοῦ πόνου · πινέτωσαν δὲ ἐπὶ ἡμέρας ις' πρωὶ καὶ εἰς κοίτην. Ἐὰν δὲ καὶ σίδια ῥοᾶς συζέσῃς αὐτοῖς, κρεῖσσον ὠφελήσεις.

6] Τὸ δὲ φοινικόπτερον τοῦ ἐχίνου, ἐὰν ζέσας δώσεις λάθρα, κρεῖσσον ποιήσεις.

1. κωλικὸς A, C ; κωλικοῖς corrigé en κωλικῷ R.
3. τεταρταΐζοντας R, C, f. mel. — ἀπολύει A, C ; θεραπεύει R.
8. τὴν add. C. — καὶ φόρει πρὸς τράχηλον R.
9. σεληνιαζομένοις C, f. mel.
11. Titre dans C : Ἀρχὴ τοῦ Η στοιχείου · κεφάλαιον ζ'.
15. Ἀφίδιον A, ici et plus bas; ἀμφίβιον R, ici et plus bas. — οἱ δὲ ἀ., om. C.
16. γοργόρηχος R.
20. F. l. ξένος γε ὤν.
23. Après παύει] addition de R : Ἐὰν δὲ καὶ φλοιοὺς ῥοϊδίων συζθῇς (l. συζέσῃς) αὐτοῖς, κρεῖσσον ὠφελήσει τὸν (*sic*) κῶλον. Cp. plus bas, l. 26.
24. F. l. ἐκζέσῃς.
26. σίκδια A. Corr. C. — συζέσας A. Corr. conj.
27. τοῦ δὲ φοίνικος σπόρου τὸν ἐχῖνον C. — Le § 6 est omis dans le v. i.

7] Ἡδονὶς δὲ ἡ θαλάσσιος, τὸ καὶ ἀφύδιον λεγόμενον συχνῶς ἐσθιόμενος τὰς γιγνομένας νομὰς ἐν τοῖς νεφροῖς ἀποθεραπεύει.

8] Εἰς δὲ τὸν ἡφαιστίτην λίθον τὸν καὶ (f. 21 v.) πυρίτην λεγόμενον ἐὰν γλύψῃς φοινικόπτερον, παρὰ δὲ τοὺς πόδας αὐτοῦ σκορπίον, καὶ ὑποβάλῃς δὲ τῷ λίθῳ [μέρος] ῥιζίου τοῦ φυτοῦ μικρόν, ἕξεις φυλακτήριον πάντων ζώων ἰοβόλων · ἀποστρέφει δὲ καὶ ἰνδαλμοὺς νυκτερινούς · ποιεῖ δὲ καὶ ἐπὶ λιθιῶντας, βασκοσύνην δὲ πᾶσαν ἀποστρέφει.

9] ΥΜΝΟΣ. Κεδνᾶς ἀκεδνῶ χάριν καὶ δειλοὶ βροτοῖσιν ἅπασιν αὐτὸς ἐφόρει Κρονίδης καὶ φάος ἐν ἄστροις γαίᾳ καὶ κτήσει χρυσὸν καὶ ἄργυρον ἐξολοθρεύειν νόσον καὶ πενίαν δεινὴν δεσμοῖς κακὴν ὑπ' ἀνάγκης · Οὐ κόραφος ἐὼν ἀγαθός, ἀλλ' ἔστιν ἀναγκάσων γαίαν ἅπασαν καὶ οὐρανὸν [καὶ] ἀστερόεντα, μαστίζων μοίραις (f. 22 r.) βροτοὺς ἀγχοπανάγκης αὐτὸς ἄναξ · Κρονίδης τις ὁ κοιρανὸς ἐν ἑνὶ κόσμῳ ῥομβοῖς ἀφθάρτοις κυλινδούμενος, πορείαις κυκλίσκων τὰ ἅπαντα ἀπ' ἀνατολῆς ἐπὶ δυσμὰς ἑπτάπολις, ἀρκτοῖς δὲ συγκινούμενα πάντα. Λισσομένη ψυχῇ ἀρκείσθω ὅσα συγκάμενοι λυομένῳ καιρῷ · εἰ καὶ μετὰ τὸ ἐγκύσαι ὄντως ἐσθὶς θεὸν γινώσκουσα ἐν ἀέρι καὶ νεφέλεσι νοσοῦν ὑπερφυγέουσα εἰς ὃν οἰκήσασθαι ἐκολάσθης. Ὦ ψυχὴ σὺ μάκαιρα, ἀθάνατος, ἀπὸ τόπου οὖσα παῦσον σοὺ κάματον ἐν σώματι, μηκέτι κάμνε ὡς ἐπιζητεῖν τίς οὐρανός ἐστιν, ὕδωρ καὶ πῦρ, ἄστρα τὰ φαινόμενα, καὶ σκότος ἐστίν, ὑπὲρ θεοῖς αὐτοῖς ἀλάλητον (f. 22 v.), καὶ σφαῖρα κυλινδουμένη ἀπ' ἀνατολῆς ἕως δυσμάς, ὀδύνη δὲ ἄυπνος ἡ ἀνέμων κινοῦσα ἅπαντα ἐκ πόντου πρηστὴρ ἀνάγει, καὶ [εἰς] αἰθέρα λύει, ἐκπαταγῶν βροντήν, καὶ ἀστεροπὴν πυρὸς ἄγει, καὶ

1. ἀφύδιν C.
4. τοῦ λίθου A. Corr. R.
5. ῥιζίον A. Corr. conj.
8. κεδνᾶς ∾ βροτοῖσιν] ita A, R; μαίδνας ἀκιδνοχάρην C; Prudentiae gratiam donat et virtutem gestatus. Ipse gestavit Saturnius et Phaos... v. i. F. l. κεδνίας (? mot supposé) ἀκίδνοις χάριν καὶ δειλοῖς βροτοῖς. — φόρει C, f. mel.
9. κτίσει R.
10. οὐκόραφος A; οὐ κέραφος R; οὐ κόραφος C; non Oraphos dimittens (ἐῶν ?) bonus v. i. (Quid Oraphos ?).
11. ἀναγγάσιον A, R; ἀναγκάσιον C; cogens v. i. Corr. conj.
12. ἀγχοπανάγγ R; ἀγχο ὑπανάγκης C; in tractibus ligans v. i. et, dans les notes : in necessitatibus eos ligans. F. l. ἄγχων ὑπ' ἀνάγκης. — κυρανὸς A; κοιρανός τις R; τυρανὸς (l. τύραννος ?) C. Rédaction du v. i. : Rex Saturnius quidam Kiranis in uno medio (l. mundo) mutationibus incorruptis et indefectis Κυλινδράτης...
14. ἑπτάπολις] ἑπταπόλλοις R; ἑπταπόλοιο C; in septem arcticis i. borealibus v. i. F. l. ἑπτὰ πόλοις. Cp. dans Wessely, *Neue griech. Zauberpapyri*, p. 66 : ὁρκίζω αὐτὸ τοὺ<ς ἑπτὰ κύκλους> τοῦ οὐρανοῦ. Cp. ci-dessous, p. 27, l. 6.
15. συγκάμενοι] συγκάμνει C; in his quae agis v. i. F. l. συγκάμνεις. — ἐγκύσαι A; ἐγγίσαι R; post praegnationem v. i. Corr. conj. — ἐσθὶς] ἐσθὴς R; ἴσθι C; mox v. i. F. l. εὐθύς.
16. νοσοῦν A, R; νοῦσον C. F. l. νόσον, vel νοσοῦν <σῶμα>.
17. ἀπὸ τόπου] ἀπὸ τότε C; extunc v. i.
18. Après οὐρανός] addition de C, trad. par le v. i. : ἢ πόθεν ὕδωρ, εἰ δὲ (f. l. εἴ γε) θέλεις μαθεῖν, φράζω ὅσα κελεύεις · οὐρανὸς...
19. ὑπὲρ θ. α. ἀλ.] super divinos ipsos inenarrabiles v. i. F. l. ὅπερ θ. α. ἀλάλητον. — ἀνάλυτον R.
20. ὀδύνη] δύνη C (pour δύνει); occidit v. i. F. l. ἡ δίνη δὲ ἄ. ἡ ἀν. κιν. π. ἐκ. π. πρηστῆραν ἄγει (sicut C) καὶ [εἰς] αἰθ. λύει, ἐκπατάγουσα βροντήν.

ὄμβρον, ὑδάτων γλυκερῶν ῥοιζήματα · γαίᾳ μητρὶ ἀπαντοτρόφῳ δεκτῆρι, γαστέρι θείᾳ κρύπτουσα τὰ πάντα ὅσα εἰς γαλήνην καθικνεῖται, ῥίζας βοτανῶν, γαίης πολυάνθεα τέκνα, φύουσιν ἃς περὶ [τετράσι], τετράποσι πτηνῶν καὶ νεπόδων πάντων καὶ φωλευόντων ἁπλῶς πάντα βρότων πέφυκεν, εὔωχρα δὲ πάντα ἔοικεν.

10] Ἀρκείσθω ὅσα προεῖπον · πεζῷ δὲ (f. 23 r.) λόγῳ καταλέξω καὶ δείξω τῆς ψυχῆς τὰ προμάντια · ὧν τὰ ὁρατὰ ὅσα προεῖπον · ἐπεσόμενα δὲ ἄλλα φράσειεν · ἔφρασα δὲ τοὺς μέλλοντας στίχους περὶ τῆς προγνώσεως καὶ τῶν ἐν αὐτῇ λοιπῶν οὕτως ζώων.

11] [Ἔποψ] ζῶόν ἐστιν ἐν ἀέρι πτώμενον ὃ καλεῖται ἔποψ, ἑπτάχρωμον βασίλειον ἔχον μήκει δακτύλων β', ἁπλούμενον καὶ συστελλόμενον · αὐτὸ δὲ τετράχρωμον, ὡς εἰπεῖν, πρὸς τὰς δ' τροπὰς τοῦ ἐνιαυτοῦ · οὗτος καλεῖται κουκούφας καὶ ποῦπος, ὡς ἐγράφη τὰ περὶ τούτου ἐν τῇ πρώτῃ τῇ βίβλῳ ἀρχαϊκῇ καλουμένῃ · ἔστι δὲ τὸ ζῶον ἱερόν.

12] Λαβὼν οὖν τὴν τούτου καρδίαν ἔτι πταίρουσαν (f. 23 v.) κατάπιε ἀντίκρυ τοῦ ἡλίου ὥρας πρώτης ἀρχομένης ἢ ὀγδόης ἀρχομένης · ἔστω δὲ ἡμέρα Κρόνου, σελήνης ἀνατολικῆς οὔσης · καὶ ἐπίπιε γάλα βοὸς μελαίνης μετ' ὀλίγου μέλιτος ἐκ τοῦ συνθέματος αὐθωρόν, ἵνα ἡ καρδία ὑγιὴς καταποθῇ, καὶ ἔσῃ προγινώσκων τὰ ἐν οὐρανῷ καὶ γῇ, καὶ εἴ τις κατὰ ψυχὴν ἔχει τι καὶ ὅσα κατὰ τὰ κλίματα καὶ κατὰ πόλεις γίνεται καὶ τὰ μέλλοντα ἅπασιν ἀνθρώποις · ἔστι δὲ τὸ τοῦ μέλιτος σύνθεμα τοῦτο ·

13] Μέλιτος κοτύλην α' S, καὶ μαγνήτου ζῶντος λειοτάτου <ο β', καὶ τῆς βοτάνης ἠρυγγίου καρδίας ἑπτά · ταῦτα λεῖα μίγνυε (f. 24 r.) τῷ μέλιτι · ἔχεις δὲ ἕτερον μαγνήτην εἰς ὃν τὸ ὄρνεον γέγλυπται τοῦτο, ὃν δεῖ ἐν τῷ μέλιτι ἐν τῷ συνθέματι ἐμβρέχεσθαι. Ὅταν δὲ θέλῃς προγινώσκειν εἴ τι βουληθῇς, πρόγευσαι δάκτυλον ἕνα, καὶ περίθου τὸν γεγλυμμένον μαγνήτην, καὶ φόρει ἐν τῷ τραχήλῳ, καὶ προγνώσεις πάντα περὶ ὧν θέλεις.

14] Ἐὰν δὲ καὶ ἑτέραν καρδίαν καὶ ἧπαρ ἔποπος βάλῃς ἐν τῷ συνθέματι, κρεῖττον

3. πτηνῶν...] F. suppl. <ἑκάστῳ τε> πτηνῶν...
4. βροτῶν] βροτοῖσι C, f. mel. Pro hominibus v. i. Les mots πάντα ∾ ἔοικεν forment un vers hexamètre. — εὔωχρα A, R; ἐχρὰ C; bene colorata v. i. F. l. εὔχρωτα. (Texte altéré).
7. Après προμάντια, traduit par divinationes, le v. i. ajoute : de omnibus virtutibus, et continue ainsi : quae cum aperta, alia dicam. — ὄντα ὁρατὰ C. — ἀλλὰ mss. ; alia v. i. — φράσοιμι R. F. l. ἐπεσόμενα δέ <τις> ἄλλα φράσειεν · ἔφρ. δὲ.
10. Ἔποψ ζῶόν ἐστι...] Ἔποψ om. R. (voir p. 17, note de la ligne 12). — ὄρνεόν ἐστι λοβικὸν (f. l. λωβικὸν) R. (Cp. plus bas, p. 21, l. 2).
12. κούκοφας A; κούκουφος R; κούκουφας C.
15. πτέρουσαν A. — Puis C ajoute : ἀπόθες ἐν (lire εἰς) ἀγγεῖον ἔχων (l. ἔχον) μέλι μετ' ὄξους, ἔασον δὲ μένειν ἡμέρας πέντε, τῇ δὲ ἕκτῃ ἀνελών, κατάπιε...
16. Après ἡλίου] C. aj. : νήστης ὤν.
20. F. suppl. τὰ μέλλοντα <συμβαίνειν> ἅπ. ἀνθρ.
24. δεῖ] δὴ mss. Correxi.
26. προγνώθει mss. Correxi.

ἔσται καὶ ἔτι μνημονικώτερον ποιεῖ. Ἵνα δὲ μὴ φθειριάσῃ τὸ σῶμα τοῦ ἐσθίοντος τὸ μέλι ἢ τοῦ καταπιόντος τὴν καρδίαν (εἴωθεν γὰρ ἔξω ῥεῖν πλῆθος φθειρῶν), δέον ἀλείφεσθαι πρῶτον τῷ ἐλαίῳ τοῦτο (f. 24 v.). Ἐλαίου κοτύλ. α΄, σταφίδος ἀγρίας λειοτάτης <ο β΄ λειώσας καλῶς καὶ ἑνώσας ἔχε ἀποκείμενον ἕτοιμον · ὅταν οὖν χρήσῃς εἰς κοίτην ἄλειψαι.

15] ΕΡΩΤΗΣΙΣ ΠΡΟΣ ΤΟΝ ΤΕΧΝΙΤΗΝ. Λέγε μοι πρότερον ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ θνητή · καὶ φησίν · πολλοὶ τῶν κακοτέχνων πλανῶνται τὸ νοερὸν τῆς ἀθανάτου ψυχῆς · αὐτὴ δὲ ἑαυτὴν ἐλέγχει · διὰ τί τοῦ σώματος ἠρεμοῦντος ἐπὶ τῆς κοίτης, καὶ ἡ ψυχὴ ἀναπαίεται ἐν τῷ ἰδίῳ τόπῳ, τουτέστιν ἐν τῷ ἀέρι, ὅθεν αὐτὴν καὶ ἐλάβομεν, καὶ θεωρεῖ τὰ ἐν ἄλλοις κλίμασι γινόμενα · πολλάκις δὲ καὶ φιλοστοργοῦσα τὸ σῶμα ἐν ᾧ κατοικεῖ πρὸ χρόνων πρωμαντεύεται τὰ ἀγαθὰ (f. 25 r.) ἢ τἀναντία, ὃ καλεῖται ὄνειρος · εἶτα πάλιν δρομεῖ εἰς τὸ ἴδιον οἰκητήριον · καὶ ἀνεγείρασα ἐξηγήσατο τὸ αὐτὸ ὄνειρον; Ἐντεῦθέν σοι φαινέσθω ὅτι ἡ ψυχὴ ἀθάνατος καὶ ἄφθαρτός ἐστιν. Οὕτως μὲν ὁ Ἁρποκρατίων εἰπών, ἐνταῦθα οὕτως τὸ στοιχεῖον τοῦτο πεπλήρωκεν.

16] Ὁ δὲ Κυρανὸς τὰ μὲν ἄλλως κατέλεξεν, τὰ δὲ κατὰ συμφώνησιν, προσέθηκεν δὲ ἀπὸ τοῦ ἔποπος ἀπογεύματος καὶ ὅτι εἶπεν ὅσα γίνονται ἐν τῷ κόσμῳ προγευόμενος γνώσει · εἶχεν ἐκεῖθεν οὕτως.

17] Ἐπείδη δυσανεύρετός ἐστιν ἡ ἐσχάτη ῥίζα τοῦ ἠρυγγίου, < καὶ > ἡ κεφαλὴ · καὶ <εἰ> θέλεις αὐτὴν εὐλήπτως ἐπιτυχεῖν, ποίει οὕτως. Λαβὼν σπέρμα ἠρυγγίου καὶ γῆν (f. 25 v.) ἐν ᾗ φύεται, βάλε εἰς γάστραν τὴν γῆν καὶ τὸ σπέρμα, πότιζε δὲ ἀραιάκις καὶ ὅταν ἀναφύῃ καὶ γένηται ὥριμον ἐν τῇ γάστρᾳ ὥσπερ τὰ ἄλλα ἠρύγγια, τότε ψηλάφησον εἰς τὴν γάστραν ἁγνὸς ὢν καὶ νῆστις, ὡς πρέπει, καὶ εὑρήσεις κεφαλὴν Γοργόνης · ταύτην ἀνελόμενος ἔχε ἕτοιμον.

18] Λαβὼν οὖν φώκης θαλασσίας τρίχας τὰς μέσων τῶν ῥινῶν καὶ τοῦ στόματος καὶ λίθον ἴασπιν χλωρὸν καὶ καρδίαν καὶ ἧπαρ ἔποπος καὶ ῥιζίον παιωνίας < καὶ > τῆς γλυκυσίδης καὶ σπέρμα περιστερεῶνος βοτάνης, καὶ τὸ κοσμικὸν αἷμα τῆς χρυσανθέμου καὶ τῆς καρδίας (f. 26 r.) τῆς φώκης τὸ ἄκρον, ἔστι δὲ καὶ τὸ βασίλειον τὸ ἐπὶ τῆς κεφαλῆς τοῦ ἔποπος, κρεῖττον ἕξεις πάντων τῶν προει-

5. ἄλειψε A; ἀλείφου R, f. mel. Corr. conj.
6. ἡ] F. l. εἰ.
8. διατι (*sic*) A; ὅτι R. F. l. διότι.
9. ἀναπαύεται R, f. mel.
17. ἀπὸ] F. l. ἐπὶ. — ἀπόγευμα C, f. mel. Si l'on adopte cette leçon, ἀπὸ peut être conservé.
19. A mg. : εἰ (l. ἡ) τὸ παρὰ Πέρσαις ζουφᾶ,
24. ταύτης A. Corr. R.
25. Titre dans R : Κατασκευὴ θαυμαστὰ καὶ δεδοκιμασμένη et en marge : σῆ. ὡρ<αῖον> πάνυ.
26. Après ἔποπος] R ajoute : καὶ ῥιζίον μικρὸν τῆς γοργόνης τοῦ ὡς στουργὰς... C. aj. : καὶ ῥιζίου μικροῦ τοῦ ἠρυγγίου τῆς βοτάνης.
27. Après γλυκυσίδης] R. aj. ἀποτελεσμὸν (l. ἀποτετελεσμένον) καθὼς εἴρηται. — κοσμικὸν] mundanum v. i.
28. ἔστι] ς' ς R. F. l. ἔτι.
29. ἕξεις ∿ εἰδῶν] ἔξης (l. ἕξεις) · πάντα οὖν τὰ προειρημένα εἰσὶν εἴδη δέκα... C.

ρημένων εἰδῶν, ἅ τινα σὺν μόσχῳ ὀλίγῳ περιειλήσας θυμιάματι τετραΐδῳ, ἔμβαλε εἰς δέρμα ἰχνεύμονος ἢ φώκης ἢ ἐλαφίου ἢ γυπός, καὶ φόρει, ἁγνὸς ὤν. Εἰ δὲ καὶ χρυσώσεις ἔξωθεν, κάλλιον ἔσται, ἔσῃ γὰρ εἰς πάντα ὅσα θέλεις ἐπιτυγχάνων, φιλητὸς παρὰ πᾶσιν ἀνθρώποις καὶ γυναιξίν · ἔσῃ δὲ καὶ φοβερὸς φαινόμενος καὶ εἰρηνικὸς καὶ ἥσυχος, θηρία δὲ πάντα ὑποτάξεις καὶ ἐχθροὺς κατὰ σοῦ φιλιώσεις.

19] Ἐὰν δὲ καὶ λύκου τὸν δεξιὸν ὀφθαλμὸν ἐμβάλῃς (f. 26 v.) τοῖς προειρημένοις καὶ φορεῖς, ἔσῃ εἰς πάντα ἀκαταγώνιστος, νικῶν εἰς πᾶν πρᾶγμα καὶ ἐπιτυγχάνων · φεύξεται γάρ σε πᾶς δαίμων καὶ πᾶν θηρίον, καὶ ἔσῃ ἐν πᾶσιν εὐδαιμονῶν. καὶ ἄνοσον δὲ διαφυλάξει σε.

20] Ἐγὼ δὲ καὶ τὴν πυτίαν τῆς φώκης ἔμιξα καὶ ἐνίκων πάντας τοὺς ἀντιδίκους μου, καὶ ἀήττητος ἤμην · ὁ γὰρ φορῶν τοῦτο τὸ φυλακτήριον ἕξει ἀγαθὰ ὅσα οὐ προσδοκᾷ ἀπὸ τοῦ Θεοῦ, καὶ ἔσται ἔντιμος πανταχοῦ, νικῶν ἐν πᾶσιν ἔργοις καὶ λόγοις, ῥυόμενος ἀπὸ παντὸς κινδύνου καὶ δαίμονος καὶ φαρμακείας καὶ πάσης κακουργίας, καί, ἁπλῶς εἰπεῖν, πάντα τὰ κακὰ ἀποστρέφει, πάντα δὲ τὰ ἀγαθὰ (f. 27 r.) προξενεῖ · ἔστιν δὲ καὶ προγνωστικὸν ὅπερ σὺν σοὶ θεὸς μόνος ἐπίσταται. Ἐνταῦθα δὲ τὸ στοιχεῖον ὁ Κυρανὸς ἐτέλεσεν.

ΣΤΟΙΧΕΙΟΝ Θ.

1] [Ἐνταῦθα] θύρσις, βοτάνη.

Θύρ, πτηνόν.

Θυρσίτης, λίθος ὅμοιος κοραλλίου.

Θύννος, ἰχθὺς θαλάσσιος.

2] Θύρσις, βοτάνη ἥ ἐστιν διονυσιακή, θαμνώδης, ἀγαθὴ εἰς πάντα. Θύρ ἐστι πτηνὸν ὅμοιον ἱέρακος τοῦ πελαγίου, δραστικόν, ἔνθεον. Θυρσίτης λίθος ὁμοίος κοραλλίου. Θύννος, ἰχθὺς θαλάσσιος ἐδώδιμος ὁμοίος τῆς παλαμίδος, μέγας δὲ καὶ εὔγνωστος.

3] Βάκερά (f. 27 v.) ἐστιν φυτὸν Διονύσου · αὐτὸ τὸ θύρσιον ἐν Βάκχαις καὶ Μαινάσι ληνοβατεῖται · γῆς φυτὸν πεφυκὸς εἰς εὐφροσύνην ἀνθρώπων. Νῦν δέ τινας λέξω

1. τετραΐδῳ] τετραείδω R, C. F. l. τετραειδῆ. Cp. θυμιάματα ποικίλα. (Orphica, sous-titre de l'hymne 11, au dieu Pan.)
7. λύκου] λ.,... Le reste du mot biffé dans A; λύκου C; lupi v. i.; φώκης R.
8. Après φορεῖς] C. aj. : ἔτι δὲ καὶ πυτίαν τῆς φώκης.
13. Verba ἀπὸ τ. Θεοῦ om. R.
14. ῥυόμενος] ἀπαλλαττόμενος R.
18. Titre dans C : ἀρχὴ τοῦ θῆτα · κεφάλαιον η.
23. διονυσαϊκὴ A, et, plus bas (p. 23, l. 5), διονυσαϊκόν.
24. ἱέρακι τῷ πελαγίῳ R, C.
25. τῇ παλαμίδῃ C. F. l. πηλαμύδος.
27. Θύρσιόν ἐστι βάκερα, φυτὸν Διονύσου R. — βάκερα] θάκερα C; A mg. : βάκερις; Balkera v. i. F. l. βάκκαρις. Cp. Pline, H. N., XXI, 77.
28. Νῦν δέ τινας] θείας δέ τινας R.

δυνάμεις τὰς εὐμαρεούσας ἐν οἴνῳ ὅσοις βροτοῖσι πέφυκε παρὰ χεύμασι ληνοβατεῖν. Τοῦτο ὕστερον αὖ μετέπειτα πεζῷ λόγῳ καταλέξω · εἰδέναι δὲ γῆς ἐστι τοῦτο.

4] Τοῦ οὖν φυτοῦ τούτου ἐάν τις λειώσῃ <δ', καὶ τοῦ λίθου <δ', καὶ εἴπῃ τὸ διονυσιακὸν ὄνομα, βάλῃ δὲ αὐτὸ εἰς κεράμιον οἴνου, ὅθεν πάντες πίνουσιν ἓν ποτήριον μόνον, καὶ πιόντες ἀναλύσουσιν (f. 28 r.) πάντες ὡς μεθύοντες καὶ εὐχαριστοῦντες, ὅτι « εὔφρανας ἡμᾶς, δέσποτα ».

5] Ἐὰν δὲ τοῦ θύννου τὸν δεξιὸν ὀφθαλμὸν βάλῃς εἰς τὸν οἶνον, καὶ εἴπῃς τοῦ Διονύσου ὄνομα, καὶ ὅτι « ἀναλυσάτωσαν οἱ κατακυκλούμενοι, φίλοι μὲν πιόντες, ἀλλὰ καὶ εὐχαριστοῦντες ὡς εὐφραινόμενοι ».

6] Ἐὰν δὲ καὶ πτερὸν τοῦ θυρὸς ὀρνέου κόψῃς μαχαίρᾳ ὁλοσιδήρῳ βάλῃς τε εἰς κεράμιον οἴνου ἐπιλέγων τὸ ὄνομα τὸ διονυσιακὸν καὶ ὅτι « κύριε, ἀνάστησον τοὺς ἀνακειμένους, αἱματοχύτους γενέσθαι ἀλλήλους δαίροντας, γίνηται (f. 28 v.) οὕτως ».

7] Εἰς δὲ τὸν θυρσίτην λίθον γλύψον θὺρ τὸ πτηνὸν καὶ Διόνυσον κρατοῦντα τὸ πτηνόν, καὶ ὑπὸ τὸν λίθον ῥίζαν τῆς βοτάνης, καὶ κατακλείσας φόρει, καὶ ἔσῃ ἀμέθυσος, πρὸς πάντας χάριν ἔχων. Ἔστι δὲ καὶ ἀκίνδυνον καὶ ἐπὶ κριτηρίων ἀήττητος. Ἔστι δὲ διονυσιακὸν ὄνομα τοῦτο. Ἐὶ. εἰρίς · βραχὺ Χριστὲ Ἰησού · εἴη. οἴωο · ά ε η ἱ λ. Ἡ δὲ ἀλήθεια τοῦ ὀνόματός ἐστιν · ή ο σύ · ῆ ο ώ β. Οὕτως μὲν ὁ Ἁρποκρατίων · ὁ δὲ Κυρανὸς οὕτως · εἰὰ βαΐχεῦ εὐΐλεῦ Διόνυσε.

ΣΤΟΙΧΕΙΟΝ Ι.

1] Ἰτέα, δένδρον.
Ἴασπις, λίθος χλωρός.
Ἰκτίς, πτηνόν.
Ἰούλης, ἰχθύς.

1. παραχεύμασι mss. ; in torcularibus v. i.
3. Τὸ οὖν φ. A. Corr. R, — κούκκια δ'... κόκκοι β' R. — Τοῦ λίθου ὅσον δραχμὴν α' C, qui aj. : καὶ τοῦ θύνου (l. θύννου) τὸν δεξιὸν ὀφθαλμόν.
4. διονυσιακὸν] Διὸς C. — Ce ms. omet nos §§ 5 et 6. — ἕνα (*sic*) A ; ἓν τὸ λοιπὸν ἐξ αὐτοῦ ποτ. πιόντες R.
5. πάντες οἱ ἀνακείμενοι ὡς μεθυσθέντες καὶ εὐχ. R.
6. Fort. suppl. <καὶ λέγοντες> ὅτι... Le v. i. aj. dicent. — F. l. ηὔφρανας.
8. φίλοιμεν A ; φίλοι καὶ μή πιόντες R ; amici absque potu v. i.
12. γίνηται] ποιήσεις R.
16. A partir de Ἐὶ, le texte, dans A, est écrit à l'encre rouge jusqu'à la fin du paragraphe. — Χριστὲ Ἰησοὺ] χέ ιυ A, R. (Le ms. C om. tout le passage à partir de Ἔστι.) — εἴη (peut-être ευΐη) A ; ευίη R. F. l. εὖιε. Cp. Orphica, hymne 50, v. 3 (εὖιε Βάκχε) et h. 30, v. 4 (... Διόνυσον... εὔιον).
17. οἴως · αέ · ιήθ. καὶ ἄλλος (f. l. ἄλλως) · ἡ ὁ σὺ · ιοώϐ. R.
18. ἐϊᾶ · βαΐχεὺ ευιλεὺ Διόνυσε R. — βαΐχεῦ] F. l. Βακχεῦ. Cp. Orph. h. 52, v. 1. — ευιλεῦ] F. l. εὐΐλατε).
19. Titre dans C : Ἀρχὴ τοῦ ἰῶτα στοιχείου · κεφάλαιον θ'.
20. A mg. (lecture incertaine) : ἰσσάου καὶ (...?) ἡ μὲν ἀγρία, ἡ δὲ ἥμερος, ὅ ἐστιν τὸ τουραχεν τζούρι.
22. ἴκτις] F. l. ἰκτίν. Cp. la l. 8 de la p. 24.
23. ἰούλης] F. l. ἰουλίς (vel ἰούλη ?).

2] (F. 29 r.) Ἰτέα ἐστὶν δένδρον πᾶσι γνωστόν, ἄκαρπον.

3] Ἴασπις, λίθος πᾶσι γνώριμος.

4] Ἰούλης, ἰχθὺς θαλάσσιος, μικρός, ποικίλος, εὐκόπως εὑρισκόμενος.

5] Τῆς οὖν ἰτέας τὰ φύλλα χλωρὰ λειώσας, κατάπλαττε μετ' ὀλίγου ἁλὸς καὶ σιάλου ὀδυνωμένους σπλῆνα <ἰάσεις>. Τὸν φλοῦν ζέσας ὀξυμέλιτι, δίδου νήστῃ κοχλιάρια δύο ἢ τρία · ἀποτρίτωσον δὲ αὐτό · δίδου δὲ πρὸς τὴν δύναμιν ἑκάστῳ.

6] Εἰς δὲ τὸν ἴασπιν λίθον γλύψον ἰκτῖνα διασπαράσσοντα ὄφιν, καὶ ὑπὸ τὸν λίθον ἐκ τῆς κεφαλῆς τῆς ἰούλης λίθον, καὶ κατακλείσας δίδου φορεῖν ἐπὶ τοῦ στήθους. (f. 29 v.) πάν<τα> δὲ πόνον στομάχου παύσει <καὶ> πολλὰ ἐσθίειν ποιεῖ εὐπέπτως. <Ἔχει δὲ> καὶ ἑτέρας δυνάμεις · τοῦτο φόρει ἐπὶ τῷ στήθει, καὶ ὄψει.

ΣΤΟΙΧΕΙΟΝ <Κ>.

1] Κιναίδιος, βοτάνη.
Κιναίδιος, ἰχθύς.
Κιναίδιος, λίθος.
Κιναίδιος, πτηνόν.
2] Κιναίδιος, βοτάνη ἥτις ἐστὶ περιστερεῶν ὕπτιος, Ἀφροδίτης.
3] Κιναίδιος, πτηνὸν ὃ καλεῖται ἴυγξ.

Ἕλκε τὸ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα ·

οἱ δ' ἰύγγιον ἀττικόν, στρουθίον ἐδώδιμον, ὡς ὄρτυξ ἀνακλώμενος τὸν τράχηλον, ὥς φησιν ὁ Ἁρποκρατίων · οὗτος ἔχει τρεῖς λίθους περὶ τὸν τράχηλον, γλῶσσαν μικρὰν ἔχων · ἀνῆκε δὲ τῇ Ἀφροδίτῃ.

4] (f. 30 r.) Κιναίδιος ἰχθὺς θαλάσσιος τὸ μέγεθος ἔχει δακτύλους ἕξ · κεφαλὴ πλατεῖα ὡς βλέννου · ἰχθύδιον στρογγύλον, διαυγὲς δὲ τὸ σῶμα ὡς φαίνεσθαι

2. ἴασπος R (l. 8 : ἴασπιν). — Après γνώριμος] C aj. (§ 3 *bis*) : ἴκτης (l. ἰκτίν), πτηνὸν πᾶσι γνωστόν.
5. σιάλου] σίμβλου R. — Après σπλῆνα] C. aj. καὶ ἰαθήσεται, f. mel.
9. F. l. ἰουλίδος.
10. πάντα R, C.
11. ἔχει δὲ add. C.
13. Titre dans C : Ἀρχὴ τοῦ Κ στοιχείου · κεφάλαιον δέκατον.
14. κιναίδιος. Voir Du Cange, *Gloss. gr.*, voce κύναιδος.
18. A mg. Δισσὸς (*sic*), γὰρ αὕτη ἡ βοτάνη, περιστερεῶν ὀρθὴ καὶ περιστερεῶν ὕπτιος, ὃ παρ' Ἄραψιν μαρύφην (?), παρὰ Πέρσαις ῥαίγαλακ (?) χαμήμεσπε (?).
19. Après ἴυγξ] Rédaction de C : ὥς φησιν ὁ Κυρανός, ἔλεγχε καὶ τὸν Θεοκρίτου στίχον (Pharmac. vers 17) ὡς ὑπόδειγμα · ἴυγξ, ἕξελκε τὸ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα. — ἴυγξ] σεισόπυξ R, qui aj. : τοῦτό φησιν ὁ Θεόκριτος ἐν τοῖς ἔπεσιν οὕτως. Suit le vers ἕλκε κ. τ. λ.
24. τὸ μέγιστον μέγεθος C, f. mel.

αὐτοῦ τὴν ῥάχιν διὰ τοῦ σώματος ὡς διὰ σπεκλαρίου. Πληθύνει δὲ εἰς τὰ παράλια τῆς Συρίας καὶ Παλαιστίνης καὶ Λιβύης. Οὗτος οὖν ἔχει λίθους β΄, οἱ καὶ ἰδίας ἔχουσιν πράξεις, ὡς καὶ μεταξὺ ῥηθήσονται · εἰσὶ δὲ ἐν τῇ κεφαλῇ. Ἔχει δὲ ἕτερον λίθον ἐν τῷ τρίτῳ σπονδύλῳ τῆς ῥάχεως παρὰ τὴν οὐράν, ὅς ἐστιν δὲ ἰσχυρότατος λίαν, καὶ ζητούμενος ἐν τῷ κεστῷ τῆς Ἀφροδίτης.

5] Ὁ δὲ κιναίδιος λίθος ἄγνωστος ἦν ὡς δύσγνωστος ὑπάρχων, ὃς καλεῖται ὀφιανός. Ἔστι δὲ Κρόνου. Οὗτος ὁ λίθος ἐστὶ δισσός · (f. 30 v.) ὁ μὲν γάρ ἐστι σκοτεινὸς καὶ μέλας, ὁ δὲ μέλας μέν, διαυγὴς δὲ ὥσπερ τὰ κάτοπτρα. Οὗτός ἐστιν ὃν ζητοῦσιν πολλοί, καὶ οὐ γινώσκουσιν αὐτόν · οὗτος γάρ ἐστι δρακόντιος λίθος.

6] Ἐὰν οὖν τις βραχὺ τῆς βοτάνης μετὰ κόπρου γυπὸς ὑποθυμιάσῃ ὑπὸ περσικίαν, φυλλοροήσει.

7] Ἐὰν δὲ ὑπὸ τὸ προσκέφαλον ὑποθήσει τις τὴν βοτάνην, οὐκ ὀρθιάσει ἐν τῇ συνουσίᾳ ἐπὶ ἡμέρας ζ΄.

8] Ἀλέκτορι δὲ ἐὰν δῷς μετὰ ἀλφίτων, οὐ πατήσει θήλειαν.

9] Τὸ δὲ ἐκ κιναιδίου ἰχθύος τὸ ἐν τῷ τρίτῳ σπονδύλῳ τῆς ῥάχεως ἐὰν δῷς ἐν ποτῷ ἢ ἐν βρώματι, καὶ τὸν λίθον ὁ λαβὼν κίναιδος ἔσται ὁμολογούμενος αὐθήμερον.

10] Ἐὰν δὲ ἀλεκτρύονι αὐτὸν δῷς μετὰ ἀλφίτων, ὑπὸ ἑτέρων ἀλεκτρυόνων βιβα- (f. 31 r.) σθήσεται πυκνῶς, καὶ ἄλλῳ οἷον ἂν εἶ ἀρρενικὸν ζῷον μαλθακιάσει.

11] Ἐὰν οὖν τὸν λίθον τοῦτον λάβῃς μετὰ τοῦ ὁμοίου ζῴου, βιβασθήσεται, καὶ μὴν ὡς θήλεια ὅσα ἀληθῶς ὁ προειρημένος λίθος ποιοῖ.

12] Τὴν δὲ γλῶσσαν τοῦ ὀρνέου ἐὰν φορῇ τις ἐπὶ χρυσῷ πετάλῳ, ἔσται χάριν ἔχων καὶ φιλητὸς ὑπὸ πάντων ἀνθρώπων.

13] Τὸ δὲ ὀρθοπύγιον αὐτοῦ λάθρα διδόμενον ἀνθρώπῳ ἢ ἑτέρῳ ἀρρενικῷ ζῴῳ, ὁ τοιοῦτος μαλθακισθήσεται καὶ τῶν θηλειῶν ἔργα ἀποτελέσει.

14] Τὸν δὲ δεξιὸν ὀφθαλμὸν ἐάν τις φορήσῃ ὑπὸ λίθον σάμφειρον ἄσπιλον, ἐφ᾽ ᾧ ἐστιν γεγλυμμένη Ἀφροδίτη, ὁ τοῦτο φορῶν ἐπιχαρὴς ἔσται καί πᾶσιν ἀνθρώποις ἐξάκουστος καὶ ἐπὶ πάσης (f. 31 v.) δίκης νίκην ἕξει. Τὸ δὲ αὐτὸ ποιεῖ καὶ <ὁ> εὐώνυμος ὀφθαλμὸς ὑπὸ θηλείας φορούμενος.

15] Αἷμα δὲ αὐτοῦ μιγνύμενον μεθ᾽ οἱουδήποτε κολλουρίου καὶ ἐγχριόμενον ὑποχύνει ὀφθαλμούς.

2. λίθους ιβ΄ R.
3. ἔχει δὲ καὶ ἕτ. λ. C, f. mel.
6. δίγνωστος A; δύγνωστος R. Correxi.
9. γάρ] F. l. δέ.
12. ἐν τῇ συνουσίᾳ] κατακείμενος R.
14. Après le § 7] addition de C (§ 7 *bis*) : Ἐὰν βραχὺ λειώσας δὸς (l. δῷς) πιεῖν ἀνδρί, οὐκ ὀρθιάσει ἐν τῇ συνουσίᾳ ἐπὶ ἡμέρας ζ΄.
16. αὐθορῶν (l. αὐθωρὸν) καὶ αὐθήμερον R.
19. ἄλλῳ] F. l. ἄλλο. — εἶ] ἦν R. F. l. ᾖ.
21. ποιεῖ R, f. mel. — Le ms. C om. les §§ 10 et 11.
27. γεγλ.] γεγραμμένη C.
28. εὐάκουστος R. — ὁ add. R.
31. ὑποχύννει A ; ὑποχέει R. — C om. le § 15.

16] Ἡ δὲ καρδία αὐτοῦ ληγούσης τῆς σελήνης περιαπτομένη τριταίους καὶ τεταρταίους ἰᾶται.

17] Ὁ δὲ ἐγκέφαλος τοῦ ὀρνέου λάθρα ἐν βρώματι ἢ ἐν πόματι διδόμενος κεφαλαλγίαν παύει ἀνίατον.

18] Τὸ δὲ ἧπαρ αὐτοῦ ἡπατικοὺς ἐν ἁλσὶ καὶ ὕδατι ἐξεσμένον ἀπαλλάσσει.

19] Τῆς οὖν μεγάλης θεᾶς τῆς Ἀφροδίτης ὁ πρῶτος κεστὸς ὁ δεινότατος καὶ μεταλλάσσων τὰς φύσεις τῶν ἀνθρώπων καὶ πάντων <τῶν> ζώων, ὁμοίως καὶ τὰς γνώμας (f. 32 r.) ἀρρενικῶν, μάλιστα δὲ ἀνθρώπων, ὥστε μαλθακιάζειν καὶ ἀπογυναικοῦσθαι τὸν ἀψάμενον ἢ φορήσαντα.

20] Ἔτι δὲ εἰς τὸν ὀψιανὸν λίθον γλύψον ἄνθρωπον ἀπόκοπον ἔχοντα περὶ τοὺς πόδας τὰ αἰδοῖα κείμενα, τὰς δὲ χεῖρας κάτω ἐσταλμένας, αὐτὸν δὲ κάτω βλέποντα τοῖς αἰδοίοις · ὀπίσω δὲ πρὸς νῶτον Ἀφροδίτην νῶτον [πρὸς νῶτον] ἔχουσαν, αὐτὴν δὲ ἑαυτῆς στρέφουσα τὴν ὄψιν καὶ βλέπουσαν αὐτῷ · ἀποκατάκλεισον δὲ τοῦ κιναιδίου ἰχθύος τὸν λίθον. Ἐὰν δὲ μὴ ἔχῃς ἕνα τῶν ἐν τῇ κεφαλῇ, ὑπόθες ῥιζίον τῆς βοτάνης, καὶ τοῦ ὀρνέου ἀκρόπτερον τὸ εὐώνυμον · κατάκλειε δὲ εἰς λήνιον χρυσοῦν πλατύτερον · (f. 32 v.) θήσεις δὲ αὐτὸ ἐντὸς ἱμάντος νευρίου ἀπὸ τῆς κοιλίας ἱέρακος, ἵνα ᾖ τρυφερόν, συρράψας κατὰ τὸ μέσον τοῦ ἱμάντος, ἵνα μὴ φαίνηται. Οὗτός ἐστιν ὁ περὶ τὴν κεφαλὴν τῆς Ἀφροδίτης ζωγραφούμενος ἢ πλασσόμενος ἱμὰς ὡς διάδημα, ὃ καλεῖται κεστός.

21] Ἐάν τις ἅψηται ἄρρην τοῦ ἱμάντος, οὐκ ὀρθιάσει · ἐὰν δὲ ἀγνώστως φορήσῃ, μαλθακιασθήσεται.

22] Ἐὰν δέ <τις> ἐκ τοῦ λίθου τοῦ ἰχθύος γεύσηται, κίναιδος τέλεος γενήσεται, μὴ ἀποκαθιστάμενος εἰς τὸ κατὰ φύσιν.

23] Ἐὰν δὲ γυνὴ φορήσῃ τὸν ἱμάντα τοῦτον, οὐδεὶς αὐτῇ συνελεύσεται ἐν συνουσίᾳ · οὐ γὰρ ὀρθιάσει ὁ ἀνήρ. Ἡ δὲ συμμετρία τοῦ ἱμάντος (f. 33 r.) πλάτος μὲν <ἔστω> δακτύλων β´, μῆκος δὲ παλαιστῶν ε´.

24] Ἔστι δὲ οὖν ἕτερον σκεῦος, ὃ φοροῦσιν αἱ βασίλισσαι, τῆς Ἀφροδίτης, καὶ ὅσα δύνανται οἱ ἄλλοι, ὁμοίως · καὶ τοῦτο εἰς ἱμάντα ἀπὸ νεύρου συντίθενται τῷ τρόπῳ τούτῳ, ἵνα <μὴ> φαίνωνται οἱ λίθοι τὴν γλυφὴν ἔχοντες, ὡς ὑπόκειται.

25] Ὁ μὲν πρῶτος ἔστω κατὰ τὸ μέσον τοῦ ἱμάντος λυχνίτης ἢ κεραυνίτης ἔχων

7. μεταλάσσων A, R; mollificat (sc. μαλάσσων), v. i.

10. Titre dans R : Ἀποτέλεσμα γλυπτικὸν τῆς Ἀφροδίτης (ce dernier mot en signe) πρώτου κεστοῦ.

11. βλέποντα τοῖς αἰδοίοις]. Cp. Wessely, *Neue gr. Zauberpap.*, p. 42, l. 663 : (θυριδα) τω νοτω βλεπουσαν.

12. Ἀφροδίτη... ἔχουσα mss. Correxi. Si l'on conserve les mots πρὸς νῶτον que nous supprimons, il faudrait les placer après αὐτὴν δέ.

15. λίνιον A.

17. ᾖ] ἡ A, R ; εἶ C. Correxi.

28. ὅσα] F. l. ὅσοι. — ἀπονεβροῦ συντίθενται A ; ἀπονεβροῦσιν (l. ἀπονευροῦσιν) · συντίθενται δὲ C. Corr. R.

29. μὴ addidi ex v. i., ubi legitur : ne appareant...

γλυφὴν τὸν Ἄρεα ἔνοπλον, ἔνθα δὲ καὶ ἔνθα συγκατερραμένους ἀδάμαντας δύο ἔχοντας Ἀφροδίτης ἀκάνθην ἤγουν ῥοδωνίαν ἐκ τῶν ἐκ τοῦ ποδός · εἶτα πάλιν ἐξ ἑκατέρου μέρους ὑποπύρρους λίθους ἀσπίλους β΄ ἔχοντας Ἀφροδίτην (f. 33 v.) ἀναδεσμευομένην τὴν τρίχα καὶ Ἔρωτα παρεστῶτα · πάλιν δὲ ἄλλους β΄ λίθους ἐξ ἑκατέρου μέρους ὁμοίως σαρδίαν γλυφὴν ἔχοντας ἀμφότερα ὁμοῦ ἥλιον ἐπὶ τετραπόλου καὶ σελήνην ἐπὶ δύο ταύρων ἕνα ἕκαστον λίθον · ἄλλους δὲ δύο λίθους ἐξ ἀμφοτέρων τῶν μερῶν < γλυφὴν ἔχοντας Ἑρμῆν κηρύκιον ἔχοντα τὴν δεξιὰν ῥάβδον · ἄλλους δὲ δύο ἀναγκίτας οὐννίονας κειμένους ἐξ ἀμφοτέρων τῶν μερῶν > κράγχιταν ἔχοντας Νέμεσιν ἐπὶ τροχὸν πόδα ἔχουσαν καὶ ῥάβδον κατέχουσαν · ἄλλους δὲ δύο μαργαρίτας ἀσπίλους ἔχοντας ἐκ τῶν δύο μερῶν ἀγλύφους συγκειμένους τῷ κεστῷ, ἵνα πλεῖστοι γένωνται οἱ λίθοι ιγ΄, γλυφέντας δὲ εἰς λήνια χρυσᾶ, καὶ ἵνα οὕτως εἰς τὸν ἱμάντα ῥαφέντες μὴ φαίνωνται (f. 34 r.) ὑπὸ τοῦ ὄχλου.

26] Ἐστὶ δὲ <ὁ> ἱμὰς διπλοῦς γινόμενος, ἀκόλουθος δέ ἐστιν ἕτερος λίθος περὶ τὸν τράχηλον φορούμενος, ὅς ἐστι σεληνίτης, ἐν ᾧ φαίνεται ἥ τε... οὖσα αὐξανομένη ἡ σελήνη καὶ μειουμένη. Ἔχει δὲ γλυφὴν σελήνην, ὑπὸ δὲ τὸν λίθον σελήνου ἀγόνου ῥίζαν ἐν ληνίῳ χρυσῷ. Οὗτος δὲ φορεῖται περὶ τὸν τράχηλον.

27] Τοῦτο τὸ μυστήριον φορούμενον ἔνθεον ποιεῖ τὸν φοροῦντα, καὶ ὑπὸ πάντων προσκυνεῖσθαι καὶ σέβεσθαι ἄξιον · πολλοὶ δὲ τῶν βασιλέων ἔνδοθεν αὐτὸ φοροῦσιν ἢ ἐντὸς τοῦ διαδήματος ὡς κεστόν, ἵνα μὴ ὑπό τινος ὁραθῇ.

28] Τὸν δὲ σεληνίτην ἐν δακτύλῳ φορούμενον τὰ αὐτά φασιν ποιεῖν.

29] (f. 34 v.) Ἀλλ᾽ ἵνα μὴ καταργήσωμεν τὸ βιβλίον, ἀρκείσθω ὁ λόγος, ἐπεὶ μεγίστας ἔχει δυνάμεις. Διὸ μετὰ πολλῆς φιλοπονίας καὶ πόνου ψυχῆς ταῦτα ἑρμηνεύσας σοι ἔγραψα. Γίνωσκε δὲ τοῦτο ὅ τι οὐδεὶς ἕτερος ἔχει · διὸ μηδενὶ μεταδὸς τοῦτο τὸ ἔνθεον.

1. συγκατεραμένους A, C; συγκατερραγμένους R. Corr. conj.
2. F. del. ἐκ τῶν.
3. ὑποπύρρους] ὑπαππήρους A; ὑπαππίρους R; σαπφήρους C; hypopteros v. i. Corr. conj.
4. λίθους ὀννίονας C.
5. Similiter Sardiniam sculptam habentem... v. i. F. l. ὁμοίους σαρδίῳ vel σαρδίου. — ἥλιον ἐπὶ τετραπόλου]. Solem super quatuor pullos, scilicet quadrigam v. i. — Cp. Orphica, hymne 8, au soleil, vers 19 :
   μάστιγι λιγυρῇ τετράορον ἅρμα διώκων.
7. γλυφὴν ∾ μερῶν (l. 8)] Addition de C, traduite par le v. i. Cette addition complète le nombre des 13 pierres, mentionné l. 11. — τὴν δεξιὰν] F. l. τῇ δεξιᾷ.
8. ἀναγκίτας] anankitas, i. veros uniones v. i.
9. κράγχιταν] κράγχιτα R; βραγχίτα C; crachmitas, i. e. retinaculum v. i.
13. ὁ add. R, C.
14. ἥτε οὖσα (*sic*) A; ἥτε οὖσα R; ἡ θεὸς (οὖσα om.) C. F. l. εἶτε.
15. καὶ] ἢ R, f. mel.
20. δακτυλίῳ R, C.
21. καταρτίστωμεν (?) R.
23. Διό, ὦ τέκνον, μηδενὶ... C.

ΣΤΟΙΧΕΙΟΝ Λ.

1] Λίβανος, βοτάνη.

Λύγγουρος, λίθος.

Λώβηξ, πτηνόν.

Λάβραξ, ἰχθὺς καὶ θαλάσσιος καὶ ποτάμιος.

2] Λίβανός ἐστι βοτάνη δενδρικὴ ἧς ὁ ὀπὸς θυμιώμενος ἀνεγείρει τὰ θεῖα πνεύματα.

3] Λύγγουρος δὲ λίθος ἐκ τοῦ ὄρους τῆς Λυγγὸς ὀνομαζόμενος · οἱ δὲ λέγουσιν αὐτὸν αἰγείρου δάκρυ · ἀγαθὸν δέ.

4] (f. 35 r.) Λώβηξ πτηνόν ἐστιν ὃ καὶ γύψ, ζῶον ἰσχυρότατον.

5] Λάβραξ πᾶσι γνώριμος ἰχθύς. Ἐκ δὲ τούτου σκευάζεται ὑγρὸν κολλούριον θειότατον ποιοῦν πρὸς ἀμβλυωπίας πάσας, ὥστε ἐν τρισὶν ἡμέραις ὀξυδερκῆσαι. Ποιεῖ δὲ καὶ πρὸς ἀρχομένας ὑποχύσεις καὶ πτερύγια, νεφέλας, ἀχλύας, μυωπίας, τραχώματα, μυδριάσεις, νυκτάλωπας, ὑδατίδας, ψωροφθαλμίας, ξηροφθαλμίας, μίλφους, βεβρωμένους κάνθους. Πρὸς ταῦτα πάντα ἄκρως ὠφελεῖ ἐγχριόμενον.

6] Ἡ δὲ σκευασία ἐστὶν οὕτως · λιβάνου ἄρρενος <ο ϑ΄, λυγγούρου λίθου <ο β΄, χολὴ γυπὸς <ο ς΄, χολὴ λάβρακος ὅλη, πεπέρεως <ο γ΄, μέλιτος ὑμνήτου γο ος΄ (?). Τοῦτο παλαιούμενον κρεῖττον γίνεται.

7] (f. 35 v.) Τὸ δὲ ἐκ τοῦ Κυρανοῦ κολλούριον εἶχεν οὕτως · λιβάνου ἄρρενος, λυγγουρίου λίθου ἀνὰ <ο β΄, χολὴ γυπὸς <ο ς΄, χολὴ λάβρακος <ο ς΄, πεπέρεως οὐγγ. γ΄, μέλιτος ἀκάπνου οὐγγ. γ΄.

8] Εἰς δὲ τὸν λυγγούριον λίθον γλύψον γῦπα, καὶ ὑπόθες ὀλίγον λίβανον καὶ ἄκρον πτερὸν τοῦ πτηνοῦ, καὶ φόρει. Ὠφελεῖ πρὸς ἀμβλυωπίαν καὶ ὑποχύσεις ὀφθαλμῶν.

ΣΤΟΙΧΕΙΟΝ Μ.

1] Μορέα, φυτόν.

Μυγερός, πτηνόν.

1. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ λάβδα · κειφάλαιον ια΄.
3. λίγγουρος A partout. F. l. λύγκουρος.
4. λώβιξ C partout ; lynx v. i.
6. κεδρικὴ R.
8. ὄρους] οὔρου C. — Λίγγους R. — F. l. ἐκ τῆς οὐρᾶς τῆς λυγκός.
16. λιβ. ἄρρ. <. ε΄ C ; IV v. i. — λιγγουρίου R. F. l. λυγκουρίου. — λιθ. λιγγ. <. γ΄ C.
17. ὑμνήτου] om. R ; καλλίστου C ; optimi v. i. F. l. ὑμηττείου?
18. γο ος΄] ὀγγ. ς΄ R ; ὀγγ. η΄ C ; ξ VI v. i. — F. l. γο ς΄.
24. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Μ · κεφάλαιον ιβ΄.

Μηδικός, λίθος.

Μόρμυρος, ἰχθὺς θαλάσσιος.

2] Μορέα ἐστὶ φυτὸν πασίγνωστον.

3] Μυγερός ἐστι πτηνὸν νυκτικόραξ πᾶσι γνωστόν.

4] (f. 36 r.) Μηδικός, λίθος · οὗτος ἀνῆκε τῇ Ἀφροδίτῃ.

5] Μόρμυρος, ἰχθὺς θαλάσσιος ἐδώδιμος, μικρός.

6] Τῆς οὖν μορέας ὁ ὀπὸς τῆς ῥίζης διδόμενος λάθρα ἐν βρώματι ἢ πότῳ καθαίρει καὶ διάρροιαν παρέχει · ἐὰν δέ τις τῷ φλοιῷ τῆς ῥίζης βραχὺ διαμασησάμενος τὸ σίαλον καταπίῃ, αὐτὸ δὲ ῥίψῃ, διάρροιαν ὁ τοιοῦτος κινδυνεύσει.

7] Πρὸς δὲ τὰς μεγίστας τῶν μυλῶν ἀλγηδόνας καὶ τῶν οὔλων ὠφελεῖ, οὐκ ἐᾷ δὲ βρωθῆναι μύλην, ἀλλὰ καὶ τὰς ἤδη βεβρωμένας ἀναλγεῖς ποιήσει <πληρῶσθαι> τῷ φλοιῷ τῆς ῥίζης <ο β′ (ἐν ἄλλῳ <ο γ′), ζζ ἀκεντήτου <ο γ′, ὄξος κάλλιστον κοτύλας β′ · ἕψει συγκόψας ἕως ἂν γένηται κοτύλη α′. (f. 36 v.) Ἐκ τούτου διακλυζέσθω τὸ στόμα πρωῒ καὶ ὀψέ. Ἱστορήσαμεν δὲ τοῦτο ἐκ θείας δυνάμεως.

8] Τῆς οὖν μορέας οἱ κλάδοι οἱ μὲν ἄνω βλέπουσιν, οἱ δὲ κάτω ἔχουσιν τὸ ἄκρον ἰσοκάρδιον καὶ διοειδές.

9] Ἐὰν οὖν τις σταθεὶς πρὸς πόδα ἀτενίζων πρὸς λίβα, δυσὶ δὲ δακτύλοις τῆς εὐωνύμου χειρὸς ἐκτείνας τὸ ἄνω βλέπον καρδίδιον πρὸς ἡλίου ἀνατολήν, καὶ μετὰ πορφύρας ἀληθινῆς περιάπτῃ γυναικὶ περὶ τὰ ἰσχία αἱμορραγούσῃ ἢ ἐκ μήτρας ἢ ἐκ τοῦ δακτυλίου, ἵστησιν εἰς τρεῖς ἡμέρας τὴν φορὰν τοῦ αἵματος.

10] Ἐὰν δὲ τὸ κάτω βλέπον καρδίδιον ὁμοίως (f. 37 r.) ὡς εἴρηται, σταθεὶς ἐκτείλας περιάψῃς αἱμοπτυϊκούς, ὁμοίως ἵστησι τὴν φορὰν ἐν τρισὶν ἡμέραις.

11] Ταῦτα δέ εἰσιν τὰ καλούμενα ἀνακάρδια · ἰᾶται μὲν τὰ ἄνω βλέποντα τὰς κάτω αἱμορραγίας <ἐν> ταῖς αὐταῖς ἡμέραις · τὰ δὲ κάτω βλέποντα, τὰς ἄνω. Πρὸς δὲ τὰς αἱμορραγίας τοῦτό ἐστιν τὸ καλούμενον ἀνακάρδιον ἢ κατακάρδιον · πολλοὶ δὲ τῶν ψευδοσοφιστῶν πλανῶνται.

12] Πρὸς δὲ τὰς ἐντερίδας τὰς αἱμορροΐδας καλουμένας ἐξωφάκας φάρμακον ἀσύγκριτον · τούτου τοῦ καρποῦ τῆς μορέας τοῦ ὄμφακος <ο β′, χαλκίτεως <ο β′, λίθου μηδικοῦ <ο δ′, πτερὸν ζ′ (f. 37 v.) κόρακος κεκαυμένου τὰ ἀκρόπτερα οἴνῳ βραχὺ ἀναλάμβανε μετὰ πτέρου τοῦ αὐτοῦ κόρακος, ἵνα γένηται γλοιῶδες.

3. φυτὸν δενδρικὸν πᾶσι γνωστόν C.
7. Réd. de C : διδόμενος ἐν ποτῷ διαρύαν l.) διάρροιαν) πλήστιν (l. πλείστην) παρέχει.
11. ποιήσει <πλ.>] facit repleri v. i.
12. ζζ] abréviation de ζιγγιβέρεως.
14. διακλυέσθω A. Corr. R.
15. ἄκρως A. Corr. R, C.
16. διοειδὲς] διειδὲς R, f. mel. ; θεοειδὲς C. Réd. du v. i.; habent oculos pullulae praeclaros et quasi ovum.
18. ἐκτείνας A, R ; — ἐκτίλλει C ; elevaverit v. i. F. l. ἐκτείλας.
21. κάρδιον R.
24. ταῦτα (ταυ effacé) A.
28. Réd. du v. i. : De omphaco moreae fructus XII ; chalcitei ξ XII ; lapidis Indici ξ IV ; extremitatum alarum VII corvorum...
30. βραχὺ] cum modico vino v. i. F. l. βραχέντα.

13] Εἰς μὲν τὰς ἔσω αἱμορραγίας ποιοῦν τὰ καλύμματα, ταῖς δὲ ἔξω καταχρίσματα, τῷ δέοντι ἀναδέσμῳ χρώμενος.

14] Εἰς δὲ τὸν μηδικὸν λίθον γλύφηται μόρμυρος ἰχθύς, καὶ κατακλείσας εἰς σιδηρᾶν πυξίδα, καὶ ὑποβάλληται καρδίδιον ἀνωβλεπὲς τῆς μορέας, καὶ φορῆται πρὸς τὰς αἱμορροΐδας, καὶ <τὰ> περὶ τὴν ἕδραν πάθη.

15] Εἰ δὲ τὴν κάτω βλέπουσαν καρδίαν ὑποκλείσεις, ἔσται φυλακτήριον πρὸς αἱμοπτυικοὺς καὶ τὰς ἐκ ῥινῶν (f. 38 r.) αἱμορραγίας, καὶ ὅσα πάθη αἱμορραγίας, <καὶ> αἱμορροϊκα, ἄνωθεν.

16] Σκευάζεται δὲ καὶ καθάρσιον ἐκ τῆς ῥίζης τῆς μορέας.

17] ὝΜΝΟΣ. Ὦ μορέα ἡ δεινὸν φυτόν, οὐκ ὀλίγοισιν ἐπαχθές, σὸς γὰρ ὀπὸς ῥίζης μιχθεὶς ἴσῳ χυλῷ στρατιώτου, περσίης ῥίζης ὁμοίως ὀπόν, τιθυμάλλου, σκαμμονίας τὸ ἴσον · μίξας δὲ ἴσον εἰς ἅπαντα καὶ μέλιτος τὸ τριπλοῦν ἕψει ἕως σχῇ ὑγρᾶς κηρωτῆς πάχος, καὶ ἑλόμενος ἔχε ἐν βίκῳ ὑελίνῳ · καὶ δίδου ἐξ αὐτοῦ <ο α΄ νήστῃ προδιαιτησόμενος ἄκρως.

18] Ἐὰν δὲ πλείω δοθῇ φασούλου (f. 38 v.) μέγεθος, ὁ τοῦτο λαβὼν χολέρᾳ ληφθεὶς οὐ ζήσεται ἡμέραν.

19] Μηδὲν ὕπερθεν πότῳ ἢ ἐν βρώμασι δίδου, κατὰ δύναμιν δὲ ἑκάστῳ δίδου.

ΣΤΟΙΧΕΙΟΝ Ν.

1] Νεκύα, βοτάνη.
Ναυκράτης, ἰχθύς.
Νῆσσα, πτηνόν.
Νεμεσίτης, λίθος.

2] Νεκύα βοτάνη ἐστὶ φλόμος · ταύτης τῆς βοτάνης εἴδη εἰσὶν ἑπτά · λέγει οὖν ὅτι τὰ ἀναβαίνοντα φύλλα ὑπὲρ γῆν πῆχυν α΄. Τούτου τὰ φύλλα καίουσιν ἐν τοῖς λύχνοις ἀντὶ ἐλλυχνίου. Ἐπειδὴ δὲ τοῦτο κατέχουσιν ἐν ταῖς νεκυικαῖς μαντείαις

1. F. l. ποίει. — κλύματα R; clysteria v. i. F. l. κλύσματα.
4. Réd. de C : καὶ ἀκρόπτερα τῆς κεφαλῆς τοῦ νυκτικόρακος · φορεῖ τε δὲ τοῦτο...
5. Réd. de C : καὶ περὶ τῶν ἕδραν (l. ἕδρας) παθῶν καὶ πόνων καρδίας ταχέως ἀπαλλάσσει.
6. ὑποκλύσεις A. Corr. R.
7. αἱμοπτοϊκοὺς mss. hic et supra. Correxi.
10. Si l'on supprime ἡ (avec C), les mots ὦ μορέα ∾ ἐπαχθές forment un vers. — F. l. σῆς γὰρ...
13. ἀνελόμενος C, f. mel.
14. <ο α΄] δραχμὴ α΄ C. — προδιατησάμενος C. — Après ἄκρως] Addition de C (§ 17 *bis*) : Ἔχε ἐν βίκῳ ὑελίνῳ ἑτέρῳ συστήματι (l. ἕτερον σύστημά τι) καὶ μετέπειτα δίδου ῥοδόμελι <β΄, κύμινον ἐξαγ. α΄ τετριμμένον καλῶς, ἕως οὗ χνοώδης γένηται καὶ μετρίως εἰς οἶνον αὐστηρὸν βράσων καὶ σακέλισον (l. σακκέλισον) · ἀνάμιξον δὲ μετὰ ῥοδόμελι, <καὶ> δίδου.
15. F. l. φασήλου.
17. πότων A. Corr. R.
18. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Ν · κεφάλαιον ιγ΄.
19. νεκία A partout.
24. πήχια α΄ A; πῆχ α΄ R : πῆχυν ἕνα C.

ταῖς διὰ λεκάνας γενομέναις (f. 39 r.) οἱ πράττοντες τὰ τοιαῦτα, διὸ καὶ νεκύα καλεῖται.

3] Νῆσσα πτηνόν ἐστιν ἐπινηχόμενον ἐν τοῖς κύμασιν ὡς ὄρνιθος μέγεθος ἔχουσα.

4] Ναυκράτης ἰχθὺς θαλάσσιός ἐστιν ἡ ἐχενηίς. Οὗτος ἐὰν κολληθῇ πλοίῳ ἀρμενίζοντι οὐκ ἐᾷ αὐτὸ κινηθῆναι ὅλως, εἰ μὴ ἀπωσθῇ τῆς τροπῆς αὐτοῦ. Οὗτος ὁ ἰχθὺς ὅλος ἐν ἐλαίῳ ἑψηθεὶς ἕως κηρωθῇ διηθούμενος τῷ ἐλαίῳ καὶ λαβόντος κηροῦ τὸ πάχος καὶ καταπλασσόμενος ποδάγρας θεραπεύει.

5] Νεμεσίτης ἐστὶ λίθος αἰρόμενος ἀπὸ βωμοῦ Νεμέσεως λίθου κραταίου.

6] Γλύφεται οὖν ἐπὶ τον λίθον Νέμεσις (f. 39 v.) ἔχουσα τὸν πόδα ἐπὶ τρόχου ἑστῶσα · τὸ δὲ εἶδος αὐτῆς ὡσεὶ παρθένος τῇ εὐωνύμῳ χειρὶ κρατοῦσα πῆχυν, τῇ δεξιᾷ δὲ ῥάβδον. Ὑποκατακλείσεις δὲ τῷ λίθῳ ἄκρον πτερὸν νήσσης καὶ βραχὺ τῆς βοτάνης.

7] Ἐὰν οὖν τὸν δακτύλιον τοῦτον προσενέγκῃς δαιμονιζομένῳ, παραυτὰ ὁ δαίμων ἐξομολογήσας ἑαυτὸν φεύξεται.

8] Ἀφυγιάζει δὲ καὶ σεληνιαζομένους περὶ τὸν τράχηλον φορούμενος.

9] Ποιεῖ δὲ καὶ πρὸς φαντασίας <ἃς> ὁ δαίμων <ἐπάγει> ἐπὶ τῶν ἐνυπνίων καὶ βρεφῶν ἐξαλλομένων καὶ νυκτερινῶν συναντημάτων.

10] Οὗτος οὖν ὁ δακτύλιος φορούμενος μηνύει τὴν ποσότητα τῶν ἐτῶν τοῦ ζῆν χρόνου, καὶ τὴν ποιότητα τοῦ θανάτου καὶ τὸν τόπον.

11] Δέον οὖν τὸν φοροῦντα (f. 40 r.) ἀπέχεσθαι ἀπὸ παντὸς πονηροῦ πράγματος.

12] Τῆς δὲ ἐχενηίδος βραχὺ ἐκ τῶν ὀστέων ἐὰν καταρράψῃς ἐς ἵππου δέρμα καὶ ἔχῃς ἐντός σου ἐπιβὰς εἰς πλοῖον, ἢ κρύψῃς, οὐκέτι πλεύσει τὸ πλοῖον, εἰ μὴ βασταχθῇ τὸ κείμενον ἢ ἐξέλθῃς τοῦ πλοίου.

13] Εἰς δὲ τὴν πρόγνωσιν τὴν περὶ ζωῆς καὶ θανάτου ὡς πρὸ ὀλίγου εἶπον, χρή σε χρᾶσθαι τῷ τοῦ ἱέρακος ἀπογεύματι.

1. λεκάνης R.
4. ἐχενηῒς A partout.
6. καθεψηθεὶς R. — διηθούμενον τὸ ἔλαιον R.
7. λαβὼν καὶ πάχος R. F. l. λαβὼν τοῦ κηροῦ πάχος.
9. ἐπὶ τῷ λίθῳ A. Corr. R.
11. ἀκρόπτερον C.
13. προσενέγγεις A, R.
14. F. l. σεαυτόν. — om. R, ubi ἐξομολογησάμενος.
15. Φυγιάζει (Φ en rouge) A ; ὑγιάζει R. — Le v. i. omet le § 8.
16. ἃς et ἐπάγει suppléés par conjecture. — πρὸς φαντ. δαιμόνον (l. δαιμόνων) R. — πρὸς φ. ὁ δαίμων om. C.
18. ζῆν] ζεῖν A ; vitae v. i. F. l. ζωῆς.
20. ἀπὸ om. R, f. mel.
25. ἀπογεύσματι A ; praegustatione vel praecognitione v. i. — Réd. de R : δεῖ σε χρᾶσθαι καὶ τὰ τοῦ ἱερ. ἀπογευματίζεσθαι. — Le v. i. om. le § 13.

ΣΤΟΙΧΕΙΟΝ Ξ.

1] Ξίφιος, βοτάνη.
Ξίφιος, λίθος.
Ξίφιος, πτηνόν.
Ξίφιος, ἰχθὺς θαλάσσιος.

2] Ξίφιος βοτάνη ἐστὶ πληθύνουσα ἐν πάσῃ γῇ · φύλλα ἔχει ὅμοια <τοῖς> σίτου, ἢ ἐπιμηκέστερα. Ὡς φύεσθαι δὲ καὶ ἐν ταῖς ἀρούραις σὺν τῷ σίτῳ · ἥν τινες μαχαιρίαν καλοῦσιν, ἔνιοι δὲ φάσγανον. Ὀρθὴ (f. 40 v.) δὲ ἀναβαίνουσα ἀπὸ τῆς γῆς ὡσεὶ πῆχυν α´ · ἔστι δὲ μονόκλωνος. Ἄνθος ἔχει κυάνεον, εὔοσμον, ὑποπόρφυρον. Ταύτην οἱ ποιμένες πλέξαντες στέφανον ἔαρος ὄντος τελοῦσι (?).

3] Ξίφιος δὲ λίθος πᾶσι γνωστός · οὗτος ἐν πάσῃ γῇ πληθύνει ὡσεὶ κάχληκες, τῇ δὲ χροᾷ ὡσεὶ καλάϊνος. Τοῦτον ἐν τῇ Ἀσσυρίων χώρᾳ κατεάζουσι καὶ χρῶνται < τούτῳ > εἰς τὸ ἀποθυμιάζειν τὰ θυόμενα τετράποδα.

4] Ὁ ξίφιος πτηνόν ἐστιν ἱέραξ κοινὸς ὁ καλούμενος κίρκος.

5] Ξίφιος ἰχθὺς ὅμοιος ἰουλίδος, ποικίλος μέν, μικρότερος δὲ καὶ λεπτός.

6] Τῆς οὖν βοτάνης τὸ ἄνθος καὶ τὴν ῥίζαν ἐὰν ἐλαίου πλῆθος τεθῇ καὶ χρόνον διαμένῃ τινά, καὶ ἀποσυρώσας ἀποθῇς εἰς μύρον (f. 41 r.) ζητούμενον ἐν ταῖς ἱερατικαῖς βίβλοις, καλούμενον σούσινον ἐν τῇ Μελανίδι γῇ, περὶ οὗ οἱ ἀρχαῖοι προφῆται πλανῶνται. Κατὰ δὲ τὴν Ἀσσυρίων χώραν καλεῖται τὸ φυτὸν σουσανόν, καὶ κατὰ τὴν Μελανίδα <γῆν> σουνόν.

7] Αὕτη ἡ βοτάνη δύο ἔχει ῥίζας, μίαν ἐπὶ τὴν μίαν καθεζομένην. Τὴν ἐπάνωθεν οὖν ῥίζαν ἐάν τις λειώσας δώσει σὺν οἴνῳ πιεῖν, εἰς συνουσίαν παρορμᾷ · τὴν δὲ ὑποκάτω ἐὰν πίῃ τις, τὸ ἐναντίον ποιήσει ἀγόνους.

8] Γλύφον οὖν ἐν τῷ λίθῳ ἱέρακα, καὶ ὑπὸ τοὺς πόδας αὐτοῦ τὸν ἰχθύν · ὑποκατάκλεισον δὲ ἐν τῷ λίθῳ τὴν ῥίζαν τῆς βοτάνης, καὶ ἔχε. Οὗτος ὁ δακτύλιός ἐστιν ἁγνὸς ὡς καὶ ὁ πρὸ αὐτοῦ.

9] (F. 41 v.) Ἐὰν οὖν ἔχῃς αὐτὸν παρὰ σεαυτῷ, χρηματισθήσῃ περὶ οὗ θέλεις.

1. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Ξ · κεφάλαιον ιδ´.
7. ἡ A. Corr. R.
8. F. l. μαχαίριον.
11. Φέρουσι R. — F. l. λέξαντες... πλέκουσι.
12. Réd. de R : πληθύνεται ὡς οἱ κάχλ. φυόμενον ἐξαιρέτως ἐν Καππαδοκίᾳ καὶ ἐν τῇ Ναζιανζῶ (η sur ῶ). A mg. : ἐν τϊ (l. τῇ) Καππαδοκίᾳ ὁ λίθος οὗτος καὶ πρὸς Ναζιανζῷ.
13. κατεάζουσι A, R ; κατεάσσουσι C ; frangunt v. i. F. l. κατάσσουσι.
14. τοῦτον R.
17. ἐν ἐλαίῳ πλείονι θήσεις R. — F. l. καὶ ἡ ῥίζα ἐὰν <ἐν> ἐλαίου πλήθει.
18. εἰς] erit v. i. F. l. ἔσται.
19. σούσινον] Cp. Pline, Hist. nat. XIII, 2. — Μελανδίᾳ R.
21. γῆν add. R. — σούσινον C : susinum v. i.

10] Καὶ ἐὰν θῇς τὸ αὐτὸ ἐν ζώῳ ἢ ἐν εἰδώλῳ τινὶ τῶν λατρευομένων, χρηματισθήσῃ ὃ ἂν θέλῃς παρ' αὐτοῦ μαθεῖν.

11] Ἡ δὲ κεφαλὴ τοῦ ἰχθύος περιθυμιωμένη μετὰ σμύρνης ἐνθουσιάζεσθαι ποιεῖ τοὺς ὀσφραινομένους.

12] Σὺ δὲ τοὺς μυκτῆράς σου χρίε μύρῳ δυνατῷ, καὶ οὐκ ἐνθουσιασθήσῃ τὸ καθόλου.

ΣΤΟΙΧΕΙΟΝ Ο.

1] Ὀνοθύρσις, βοτάνη.

Ὄρτυξ, πτηνόν.

Ὄρφος, ἰχθύς.

Ὀνυχίτης, λίθος γνωστὸς πᾶσι.

2] Ὀνοθύρσις βοτάνη ἐστίν · οἱ δὲ ὀνοθούρην καλοῦσιν, οἱ δὲ ὀνομαλάχην. Αὕτη ἐστὶν τὸ ῥόδον ἐξ ἧς τοὺς στεφάνους πλέκουσιν (f. 42 r.) Ἕλληνες ἐν ταῖς ἑορταῖς τῶν θεῶν. Φύλλα ἔχει ὅμοια μαλαχίου ἡμέρου. Ταύτην Ἕλληνες καλοῦσιν ἀλθαίαν.

3] Ὄρτυξ πτηνὸν πᾶσι γνωστόν · οὐκ εὐκόλως δὲ ἐγνώσθη ἡ φύσις τοῦ ὄρτυγος ἢ πόθεν ἐστὶν ἡ τούτου γένεσις · ὅταν γὰρ χειμῶνες μεγάλοι γένωνται ἐν τοῖς μέρεσι τῆς Λιβύης τοῖς ἐρήμοις, ἡ θάλασσα τοὺς μεγίστους θύννους εἰς τοὺς αἰγιαλοὺς παρεκρίπτει · οὗτοι δὲ σκώληκας ποιοῦντες ἐπὶ ἡμέρας ιδ', ἀπολεσθέντες γίγνονται ὡς μυῖαι, εἶτα ὡς ἀκρίδες · αὗται δὲ αὐξανόμεναι γίνονται ὄρτυγες · εἶτα νότου ἀνέμου γενομένου ἢ λιβονότου, αὐξήσαντες διαπεραιοῦσι τὴν θάλασσαν, εἴς τε τὴν Παμφυλίαν (f. 42 v.) καὶ Κιλικίαν καὶ Καρίαν καὶ Λυκίαν, καὶ πάλιν βορέου φυσήσαντος, οὗτοι ἀφίπτανται εἰς τοὺς παραθαλασσίους τόπους τῆς τε Ἀσσυρίων χώρας καὶ τὰς λοιπὰς τῆς Μελανιτίδος γῆς. Οἱ δὲ τῆς σοφίας ἀμύητοι αὐτοὺς ἁγνοὺς ἀγνοοῦντες λέγουσι τὴν τούτων φύσιν καὶ ἀρχὴν μὴ γινώσκοντες.

1. ἢ ἐν εἰδώλῳ ~ μαθεῖν] ἢ θεοῦ τινος πλάσματος (l. πλάσματι), χρηματισθήσῃ περὶ οὗ θέλεις C.
2. ἂν] ἐὰν A, R. Correxi.
4. εὐφραινομένους A. Corr. R, C; odorantes v. i.
7. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Ο · κεφάλαιον ιε'.
10. ὀρφὸς mss. partout.
12. ὀνομολόχην A, R. Corr. C, v. i., ubi ὀνομαλάχην. i. asini malva.
13. A mg. Ε÷ (l. ἔστι) πλατὺ ἐβεσκούμ.
17. Après γένεσις] R aj. : ἔχει δὲ οὕτως.
18. ἐρημοτέροις R.
19. παρακρίπτει A, C.; παραρρίπτει R. Corr. conj. — ιδ'] δ' C.
22. Καρίαν] βαρίαν A ; Λαρίαν R ; verbum hoc et Λυκίαν om. C; Hiberniam v. i. Corr. conj.
24. Ἀσσυρίων] Syriae v. i. — Μελάντιδος αἴης R.
25. Réd. de R : αὐτοὺς ἀγνοοῦντες ἀγνώστους λέγ. ἢ ἁγνοὺς τὰς τε φύσις (l. φύσεις) <καὶ> τὴν ἀρχὴν μ. γιγν.

4] Ὄρφος, ἰχθὺς θαλάσσιος πᾶσι γνωστός, ἐδώδιμος.

5] Ὀνυχίτης λίθος ἢ σαρδόνυξ ὑπὸ πάντων γινωσκόμενος.

6] Τῆς οὖν βοτάνης ἡ ῥίζα ἑψομένη μετὰ ἐλαίου καὶ τοῦ στέατος τοῦ ὄρτυγος, εἶτα κηροῦ μιγνυμένου ποιεῖ πρὸς τὰ σκληρώματα τῆς μήτρας καὶ φλεγμονάς, ἕλκη, νομὰς καὶ ὅσα περὶ τὸν γυναικεῖον κόλπον · ἀνίεται δὲ ῥοδίνῳ · ποιεῖ πρὸς χοιρώνια.

7] (F. 43 r.) Οἱ δὲ ὀφθαλμοὶ τοῦ ὄρτυγος μετὰ τῆς ῥίζης τῆς βοτάνης περιαφθέντες καθημερινοὺς τύπους καὶ τριταίους ἀπαλλάσσουσιν ἐν ἀποκρούσει περιαφθέντες.

8] Τοῦ δὲ ὄρτυγος ἢ τοῦ ὄρφου τοὺς ὀφθαλμοὺς λειώσας μεθ' ὕδατος ὀλίγου ἐν ὑελίνῳ ἔχεις ἀγγείῳ ἐπὶ ἡμέρας ἑπτά · εἶτα προσβάλῃς ἔλαιον βραχύ, ἐκ δὲ τούτου εἰς τὸν λύχνον βάλῃς. Εἰ τὸ ἐλλύχνιον μόνον ἀλείψεις, ἅψας δὲ ἐπισυνέγκῃς τοῖς ἀνακειμένοις, ὄψονται ἑαυτοὺς ὡσεὶ δαίμονας πυρωπούς, ὥστε ἀναστάντας πάντας φεύγειν.

9] Εἰς δὲ τὸν ὀνυχίτην λίθον γλύψον ὄρτυγα καὶ ὑπὸ τοὺς πόδας τὸν ὄρφον · ἐκ δὲ τοῦ συνθέματος ὑπὸ τὸν λίθον (f. 43 v.) τὸν ἰχθὺν βάλε, καὶ οὐδεὶς σὲ ὄψεται, οὐδ' ἐὰν βαστάζῃς τι τῶν ὄντων · τὴν δὲ ὄψιν σου χρῖσον ἐκ τοῦ συνθέματος, καὶ τὸν δακτύλιον φέρε, καὶ οὐδεὶς σὲ ὄψεται εἴ τις ἀνεῖσι καὶ εἴ τι καὶ ἂν ποιῇς.

ΣΤΟΙΧΕΙΟΝ Π.

1] Πολύγονος, βοτάνη.

Πορφύριον, πτηνόν.

Πορφύρα θαλασσία.

Πορφυρίτης, λίθος εὔγνωστος πᾶσιν.

2] Πολύγονος, βοτάνη · οἱ δὲ χαμαίμηλον λέγουσιν.

3] Πορφύριον, πτηνὸν ποτάμιον ἐν τοῖς ποταμοῖς πληθῦνον.

4] Πορφύρα θαλασσία · οἱ δὲ κηρύκιον · ὁμοία κοχλίῳ.

5] Πορφυρίτης λίθος γνωστός, μάλιστα ἐν τῇ Μελανιτίδι γῇ.

6] Τῆς δὲ βοτάνης ἡ ῥίζα αἱρουμένη ἐν ἀποκρούσει (f. 44 r.) καὶ φορουμένη οὐκ ἐᾷ ὀφθαλμοὺς νοσεῖν. Ὁ δὲ χυλὸς αὐτῆς σκευαζόμενος ὡς ὑπόκειται ποιεῖ πρὸς

2. γιγνώσκεται R.
4. κηρῷ μιγνυμένη R, f. mel. — σκιρρώματα R, f. mel.
7. καθημερινὰ ῥίγη καὶ τριταῖα ἀπαλλ. καὶ ἀποκρούουσιν R. — ἐναποκρούσιν (*sic*) A. Corr. C.
11. ἐπισυνέγγοις A ; ἐνεγγὼν R ; ἐπισυνέγγῃς C. Correxi. (induc v. i.)
14. Réd. du § 9 dans C : Ἐὰν δὲ τὸν ὀν. λ. ὑποκατακλύσας (l. — κλείσας) μὲ (pour μετὰ) ὀλύγον (l. ὀλίγον) τῆς βοτάνης καὶ φορεῖν, πάντα τὰ ζῶα ὑπὸ σοῦ φεύξονται. Ἔχει δὲ καὶ ἄλλας ἐνεργείας φορούμενον τὸ δακτυλίδιον ἃς οὐ χρὴ δημοσιεύειν.
17. εἴ τις ἀνεῖσι] εἴ τι ἂν ᾖς R. F. l. εἴ τι ἂν οἴσῃ. — F. l. ποιῇς.
26. Μελάντιδι R.
27. ἐν ἀποκρούσει σελήνης (σελ. en signe) R.

πολλὰ αἰνιγματώδη πάθη ἐν ὀφθαλμοῖς · ἐν πολλοῖς γὰρ πάθεσιν πηροῦνται οἱ ὀφθαλμοὶ τοῦ ἀνθρώπου.

7] Ὡς δὲ οὕτως, ἵνα μὴ μηκύνωμεν τὸν λόγον, ἀπόκειται ἐπὶ μὲν τῶν βλεφάρων κνήφη, κονιδισμός, φθειριάσις, ἀτριχία, τριχιάσις, φαλάγγωσις, χάλαζα, κριθή, ἀκροχόρδονον, μίλφωσις, παχυβλεφαρία · γίνεται πάθη ια΄. Περὶ δὲ ἐπισκύνια τράχωμα, ὑδατίς, ἕλκος, τρίχωσις · γίνεται δ΄. Περὶ δὲ τοὺς κανθοὺς ψωροφθαλμία, ξηροφθαλμία, ἄργεμος, ἔγκαυσις, αἰγιλωπία, (f. 44 v.) ἀχύλωψ, σύριγξ, νομή, ἀνάβρωσις · γίνεται θ΄. Περὶ δὲ ὅλον τὸν βολβὸν, πτερύγιον, λεύκωμα, ἐρίζης (?), μυοκεφαλίον, ἀχλύς, ἀμβλυωπία · <γίνεται ς΄>. Πλατυκορία, σύγχυσις, ἀτονία, ἀτροφία, φθίσις, γλαύκωσις, μυδρίασις, δικορία, ἱππάριον, νυκτάλωψ, μύωψ, σκοτισμός. Γίνεται ιβ΄. Περὶ δὲ ὅλον τὸν ὀφθαλμὸν φλεγμονή, φίμωσις, σύγκαυσις, σύγχυσις, ἀποστημάτιον, βρῶσις, ἕλκος, περιωδυνία, ψυδράκιον · γίνονται ϑ΄.

8] Εἴδη δὲ ῥευμάτων · λάβρον, ἀθρόον, θερμόν, γλυκύ, ψυχρόν, χλιαρόν, λεπτόν, δριμύ, παλαιόν, ἀμμῶδες, νιτρῶδες. Γίνεται ῥεύματα ια΄.

9] (F. 45 r.) Γίνεται ταῦτα πάθη ξ΄. Ἔστιν δὲ σκευασία τοῦ φαρμάκου πρὸς τὰ προκείμενα σύμπαντα <ἥδε> · τῆς βοτάνης χυλοῦ γο ς΄, λυκίου ἰνδικοῦ < ο ς΄, ἀλόης ἰνδικῆς < ο ς΄, σμύρνης < ο δ΄, κρόκου < ο δ΄, λιβάνου < ο δ΄, ὀπίου < ο δ΄, ἀκακίας μελαίνης < ο β΄, ὕδατος ὀμβρίου γο ε΄. Λειώσας ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ.

. . . .

10] (Ms. C, f. 89 v.) Σάρκα δὲ ὠμὴν τῆς πορφύρας καταπλάσας μετώπῳ ἡμικρανίαν ἀπαλλάσσει.

11] Εἰς δὲ τὸν πορφυρίτην λίθον γλύψον τὸ πτηνόν, καὶ παρὰ τοὺς πόδας τὸ κηρύκιον · ὑπὸ δὲ τὸν λίθον ἀκρόπτερον τοῦ πτηνοῦ κατακλείσας φόρει πρὸς τὰς περιωδυνίας τῆς κεφαλῆς καὶ ἡμικρανίου πόνον. Ποιεῖ δὲ <καὶ> ἐπὶ τῶν ῥευματιζομένων τοὺς ὀφθαλμούς. Ἐν ἀποκρούσει σκεύαζε σελήνης καὶ τὸ δακτύλιον καὶ τὸ κολλούριον.

5. Les mots γίνεται πάθη ια΄ jusqu'à πάθη ξ΄ (§ 9) sont omis dans C qui, après παχ. (l. 5), aj. ταῦτα καὶ ἄλλα πλεῖστα τοῖς ὀφθαλμοῖς θεραπεύει. — ἐπισχίνια A, R; A mg. : ἐπισκήνιον; ἐπισκύνιον v. i. Correxi.

6. ἀκάνθους A. Corr. R.

7. ἄργεθμος A. Corr. R. — ἀχύλωψ] A mg. et v. i. : αἰγίλωψ.

8. ἐρίζης (*sic*) A; ἐρίζειν R; ῥῆξις v. i.

9. μυιοκέφαλον v. i., qui aj. : σταφύλωμα, τάραξις, αἱμάλωψ, στραγγός et sunt IX.

15. Ὅλα δὲ τὰ πάθη ξ΄ R.

16. ἥδε add. R. — γο ς΄] ὀγγ. β΄ C. — < ο ς΄] < γ΄ C. — ἰνδικῆς om. A, R. — < ο ς΄] < ε΄ C.

17 σμ. < ο δ΄] σμ. < β΄ C. — Partout où le ms. A donne δ΄, R donne α΄ et le v. i. VII. — < ο β΄] < ς΄ C. — ὀπ. < ο δ΄] ὀπ. < γ΄ C.

18. ἀκ. μελ. < ο β΄] ἀκ. μελ. < ς΄ C; ξ XII v. i. — Après ἀγγείῳ] R aj. καὶ χρῶ. Le v. i. aj. : Melius autem est vinum pro aqua ponere. Hoc ad omne rheuma et ad omnem passionem oculorum et hebetudinem pretiosissimum est; restinguit enim omne rheuma. Insuper etiam et ad omnes dolores illinitum in balneo, et ablutum, magnum est adjutorium. Les §§ 10 et 11 de la lettre Π ainsi que les lettres Ρ et Σ en entier manquent dans A et dans R qui laissent en blanc, A 8 lignes et R 18. Cette lacune est suppléée par C et par le v. i.

24. <καὶ>] « et » v. i.

ΣΤΟΙΧΕΙΟΝ Ρ.

1] Περὶ βοτάνης, ῥάμνος.
Ῥομφαία, πτηνόν.
Ῥαφίς, ἰχθύς.
Ῥινόκερως, λίθος.

2] Ῥάμνος, βοτάνη ἐν παντὶ κλίματι γνωστή, ἀκανθῶδες.

3] Ῥομφαία, πτηνὸν ὅ ἐστι νυκτερὶς ὑπὸ πάντων γινωσκομένη.

4] (Ms. C, f. 90 r.) Ῥαφίς, ἰχθὺς θαλάσσιος μικρὸς ὡς ῥαφίδα ἔχον τὸ στόμα.

5] Ῥινόκερως, λίθος ὅς ἐστιν ἀπὸ τοῦ ἄκρου τῆς ῥινὸς τοῦ ῥινοκέρωτος · ἔστι δὲ κερατοειδής.

6] Τῆς οὖν βοτάνης κλάδον ἐὰν καταθῇς ἐν οἰκίᾳ, πάντα πνεύματα ἀποδιώκει.

7] Ὁ δὲ χυλὸς τῆς βοτάνης καυλοῦ τοῦ καρποῦ μετὰ μέλιτος ἐγχριόμενος ὀξυωπίαν ποιεῖ. Ἕψει δὲ αὐτὸν ἕως σύστασιν σχῇ.

8] Ἡ δὲ νυκτερίδος μετὰ χυλοῦ τῆς βοτάνης καὶ μέλιτος, ἐὰν χρίσῃς, ὀξυωπίαν μὲν παρέξει, ὑπόχυσιν δὲ ἀπαλλάξει.

ΣΤΟΙΧΕΙΟΝ Σ.

1] Περὶ βοτάνης, σατύριος.
Στρουθοκάμηλος, πτηνόν.
Σάπφειρος, λίθος.
Σάλπη, ἰχθύς.

2] Σατύριός ἐστι βοτάνη ὡς ἀκανθώδης, καὶ ὅλος ὁ καυλὸς ἀναβαίνων ἐπὶ τῆς γῆς ἔχει μῆκος παλαιστὰς β', μεστὸς δὲ σπέρματος · τῇ χροιᾷ ἐστιν ὡς κνήκου ὠχρότερον μέσον τοῦ σπέρματος.

3] Στρουθοκάμηλος, πτηνὸν ὑπὸ πάντων γινωσκόμενον.

4] Σάλπη, ἰχθὺς θαλάσσιος εὐανθής, γνωστός, ἐδώδιμος.

5] Σάπφειρος λίθος ἀνῆκεν τῇ Ἀφροδίτῃ, ἄσπιλος.

1 Στοιχεῖον Ρ]. Nous conformons ce titre et celui de la lettre suivante aux titres donnés par le ms. A. — Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Ρ · κεφάλαιον ιζ'.
6. Après κλίματι] φυομένη, biffé par le copiste.
13. τοῦ] « et » v. i. F. l. καὶ
15. F. suppl. Ἡ δὲ νυκτ. <χολὴ>. Sanguis autem nycteridis v. i.
17. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Σ · κεφάλαιον ιη'.
24. μέσον] cum v. i. F. l. μετὰ.
26. εὐανθὴς] bene coloratus v. i

6] Τῆς οὖν βοτάνης γίνεται σκευὴ τοιαύτη.......................... Σατυρίου σπέρματος < α′, πεπέρεως < α′, στυπτηρίας στρογγύλης ὀγγ. β′, καὶ σχιστῆς στυπτηρίας ὀγγ. β′. Ἀπόθου ἐν ἀγγείῳ ὑελίνῳ τοῦ ξηρομύρου ὀγγ. β′.

7] Ἡ δὲ σκευὴ τοῦ ξηρομύρου ἐστὶν αὕτη. Κόστου ὀγγ. α′, κασίας ὀγγ. β′ ς″, ἀμώμου ὀγγ. α′, καρυοφύλλου ὀγγ. β′, μόσχου γραμμάρια β′ ς″. Ταῦτα δὲ ὁλμοκοπήσας καὶ σείσας ποίει τροχίσκους καὶ ἀναξηράνας ἀπόθου ἐν βικίῳ, καὶ ὅτε χρεία κόπτεσθαι καὶ ποίει ξηρόμυρον, καὶ δίδου ὀγγ. β′, τῶν μὴ δυναμένων γυναικῶν συλλήψασθαι.

8] Τῶν δὲ στρουθοκαμήλων ὁ ἐχῖνος τό λεγόμενον σιφούκιον ξηρὸν λειωθὲν καὶ διδόμενον λάθρα φιλτροπόσιμόν ἐστιν ἡδονικὸν παρασκευάζον τε εἰς ἔρωτα τὴν πίνουσαν αὐτὸ κόρην.

9] Λίθος δὲ ἐκ τοῦ ἐχίνου κεκλασμένος καὶ διδόμενος ἐν βροτῷ ἢ ποτῷ μεγίστην ἔντασιν ποιεῖται, μάλιστα τῶν μὴ δυναμένων συνουσιάζειν, μήτε ψυχὴν ἀντὶ ψυχῆς κτίζειν.

10] Αὐτὸς δὲ ὁ λίθος καθ' ἑαυτὸν περιαπτόμενος (f. 90 v.) μεγίστην εὐπεψίαν παρέχει καὶ ἔντασιν τοῖς μὴ δυναμένοις συνουσιάζειν.

11] Τῆς δὲ σάλπης τοῦ ἰχθύος ὁ δεξιὸς τοῦ κρανίου λίθος περιαπτόμενος ἔντασιν ποιεῖ, ὁ δὲ εὐώνυμος ἀνεντάτους.

12] Τὸ δὲ στέαρ τοῦ ἰχθύος μετὰ μέλιτος λειούμενον ἡδονὰς μεγίστας ποιεῖ περιχριόμενον εἰς τὸ αἰδοῖον ἀμφοτέρων.

13] Γλύφεται οὖν ἐν τῷ σαπφείρῳ λίθῳ στρουθοκάμηλος ἐν τῷ στόματι ἔχων τὴν σάλπην, καὶ βραχὺ τοῦ λίθου τοῦ ἐν τῷ ἐχίνῳ εὑρισκομένου τῆς κοιλίας τοῦ στρουθοκαμήλου, καὶ κατακλείσας φόρει. Πρὸς πᾶσαν εὐπεψίαν καὶ ἔντασιν ποιεῖται καὶ

1. Après τοιαύτη] addition du v. i. : Ad dissolutas et steriles mulieres et concubitum, et quae habent sperma aquosum et liquidum et quae non possunt concipere, et sunt aridae et siccae. Est enim hoc aridum et delectabile et conceptum dans. Si ante coitum superspersseris membro virili melle peruncto, mulier ultra modum debilitatur. Si autem mulier sic ungatur, intensio actus multa fiet : desiccat enim naturam et facit conceptum et ut steriles concipiant. Praeparatur autem sic. Satyrion seminis ξ II.

2. Aluminis scissi ξ I. Secundum alium vero librum ξ II. Styptyriae rotundae ξ II v. i; et il aj. : aromate aridis (l. iridis) ξ II. — στρογγύλης] στροβύλησι C. Correxi.

4. Réd. du § 7 dans le v. i. : Costi ξ III : spicae nardi ξ s. (in alio libro ξ III). Carpobalsami ξ III. Amomi ξ s., alibi ξ v. Garyophyllorum ξ II. Cassiae ξ II et s. Storacis ξ v. Opobalsami ξ I et et s. Rosae exungulatae ξ IV. Musci scr. II et s. Tere arida tenuissime et cribra diligenter. Deinde storacem semotim diutius tere; hinc cum balsamo et cum rosis tritis de omnibus permixtis fac trochiscos : postea suffumiga et desicca eos in θυίνῳ musci arboris et storacis et mastychis et ortygis ungulis et costi, quibus desiccatis repone in ampulla vitrea, et cum opus fuerit ad conceptionem, tere II trochiscos. Et haec confectio aromatis sicca.

9. σιφούκιον] suffuvium v. i.

12. Après ἐχίνου] addition du v. i. : cum uno grano de satyrione... datus latenter.

13. μήτε ψυχὴν ἀντὶ ψυχῆς] mots non traduits dans le v. i.

21. F. l. γλύφηται. (Sculpe v. i.

ἐρωτικὰς συμπαθείας · μάλιστα τὴν ἔντασιν παρέχει τοῖς ἤδη γηρῶσιν τοῖς τε θέλουσι πολλὰ συνουσιάζειν · ποιεῖ δὲ καὶ ἐπιχαρῆ τὸν φοροῦντα.

(Ms. A, f. 45 v.) ΣΤΟΙΧΕΙΟΝ Τ.

1] Τριφύλλιος, βοτάνη.
Ταώς, ὄρνεον.
Τρυγὼν θαλασσία.
Ταΐτης, λίθος εὐανθής.

2] Τριφύλλιος βοτάνη ἐστὶν γνώριμος πᾶσιν, ἀγαθή.

3] Ταὼς ἐστι πτηνὸν ἐπίχαρι, εὔγνωστον, ὡραῖον.

4] Τρυγὼν ἐστιν ἰχθὺς θαλάσσιος οὖσα καὶ φαῦλον.

5] Ταΐτης λίθος ἐστὶ ποικίλος, εὐανθής, ὁμοίως τοῦ ταῶνος, <ὁ καὶ πάγχρους καλούμενος · οὕτως ἀνήκει τῷ ταῶνι διὰ τὸ πολύχρωμος ὡς καθὼς καὶ ταῶν. >

6] Γλύφεται οὖν ἐπὶ τοῦ λίθου ταὼς πατῶν τρυγῶνα θαλασσίαν, καὶ ὑπὸ τὸν λίθον ἡ φωνὴ τοῦ ταῶνος ὡς ἔστι άΐω, καὶ ῥιζίον τῆς βοτάνης ὑποτιθέμενον · καὶ ὑποκατακλείσας φόρει. Τοῦτό ἐστι μέγα καὶ θαυμαστὸν φορούμενον ἐπί τε νίκης (f. 46 r.) καὶ φιλίας καὶ συστάσεως καὶ πρὸς πάντας καὶ πάσας, ὥστε πάντας εὐηκόους ἔχειν. Δηλοῖ δὲ καὶ καθ' ὕπνους περὶ οὗ ἂν τις βούληται.

7] Ἐὰν δὲ πρὸς κεφαλὴν ὑποθῇς, ὑπνώσας, ἀγνώς, ἐάν τις βούλῃ περὶ σοῦ ἴδῃς. Τοῦτον δὲ τὸν δακτύλιον μηδενὶ παραδώσεις ἑτέρῳ, ὅτι μέγιστος ὑπάρχει, καὶ ἄλλου τοιούτου οὐκ εὐμοιρήσεις.

. . . .

ΣΤΟΙΧΕΙΟΝ Υ.

1] Ὑπέρεικον, βοτάνη.
Ὑπερωνίς, πτηνόν.
Ὕλλος, ἰχθὺς θαλάσσιος.
Ὑέτιος, λίθος.

3. Titre dans C : Ἀρχὴ στοιχείου τοῦ Τ · κεφάλαιον ιθ'.
4. τρίφυλλος R ; τριφύλλη C. F. l. τρίφυλλον.
5. ταῶν A, C ; ταὸς R. Correxi.
10. φαύλη R, f. mel.
11. < >] addition de R.
12. ὡς] F. l. εἶναι. (Confusion tachygraphique ?) — Le ms. R. omet le reste de la lettre T et les §§ 1 à 5 de la lettre Υ.
18. Videbis in somno quod voluisti v. i. F. l. ἴδοις. — ἐάν τις ~ ἴδῃς om. C.
19. καὶ ἄλλου κ. τ. λ.] Réd. de C (trad. par le v. i.) : καὶ τοιοῦτος ἄλλος οὐχ εὑρεθήσεται.
20. Après εὐμοιρήσεις] le v. i. aj. : Lapis autem, qui est in capite pavonis, datus in potu cum proprio sudore, virginem, quam volueris, acquires.
24. ὑπερωνίς] hyperionis v. i. F. l. ὑπεριονίς.

2] Ὑπέρεικόν ἐστιν βοτάνη ἀγαθή, θαμνώδης · οἱ δὲ διονυσίαν καλοῦσιν · ἔστιν δὲ θερινή.

3] Ὑπερωνὶς πτηνόν ἐστιν ὃ ὑπάρχει ἀετὸς θήλεια, ὥσπερ (f. 46 v.) καὶ ὁ ἄρρην ὑπάρχει.

4] Ὕλλος θαλάσσιος γνωστός, ἐδώδιμος, πονηρός.

5] Ὑέτιος δὲ λίθος ὅς ἐστι ποταμοφόρητος · ψηφὶς αἱματίζουσα μᾶλλον τῷ χρώματι.

6] Τὸν μὲν οὖν λίθον λιθαργήσας γλύψον εἰς αὐτὸν ἀετὸν διασπαράττοντα τὸν ἰχθύν, ὑπὸ δὲ τὸν λίθον μικρὸν ῥιζίον τῆς βοτάνης καὶ τὸ ἄκρον πτερὸν τοῦ πτηνοῦ, ἐὰν δὲ μὴ ἔχῃς, ὑπερωνίδος, καὶ θὲς ἱέρακος, καὶ κατακλείσας ἔχε · μέγα φυλακτήριόν ἐστι καὶ ἀνδράσι καὶ γυναιξὶν πρὸς τὰς ἀναδρομὰς τῆς μήτρας, παρεγκλίσεις, σκοτισμούς, αἱμορροίας, ἀκαταστασίας, φλεγμονάς, ῥοιάδας, καὶ ἁπλῶς χωρὶς πτώσεως καὶ ἀναβρώσεως (f. 47 r.) καὶ καταβρώσεως, πρὸς πάντα ποιεῖ. Δίδου οὖν φορεῖν ταῖς ἀναγκαζομέναις γυναιξὶν πρὸς τὰς ἀναδρομὰς τῆς μήτρας, παρεγκλίσεις ὡς μέγα μυστήριον καὶ ἀσφαλέστατον βοήθημα ἄκρως.

ΣΤΟΙΧΕΙΟΝ Φ.

1] Φρύνη, βοτάνη.

Φρῦνος, πτηνόν.

Φώκη, θαλάσσιον ζῷον.

Φρῦνος, λίθος.

2] Φρύνη, βοτάνη ἥτις ἐστὶν βατράχιον, πονηρὸν φυτόν, τῇ ἰδέᾳ ὡσεὶ σέληνον · φύεται δὲ ἐν τοῖς ὕδασιν · ἔστι δὲ καυσῶδες, ἔμπυρον δὲ τῇ δυνάμει ἐστίν.

3] Φρῦνος, πτηνόν · οἱ δὲ ἴκτερον, οἱ δὲ χλωρὸν λέγουσιν. Τῷ μεγέθει ὡς στρουθίον (f. 47 v.) ἐστί.

4] Φώκη θαλασσία, ζώων κάλλιστόν ἐστι καὶ γνωστόν, ἀνθρωπείας χεῖρας ἔχουσα, πρόσωπον δὲ βοὸς μικρᾶς.

5] Φρῦνος, λίθος · οἱ δὲ βατραχίτην αὐτὸν καλοῦσιν.

6] Τῆς οὖν βοτάνης ἐστὶν <ἡ> δύναμις ἰσχυροτάτη τοιαύτη · ἀντὶ τοῦ

1. διονυσιάδα C.
3. ὥσπερ] dernier mot du folio 90 v. et du texte dans le ms. C.
8. F. l. λιθουργήσας. Réd. de R : Εἰς γὰρ (f. l. δὲ) τὸν τοιοῦτον γλύψον ἀετὸν διασπ. τὸν ἰ. τοῖς ποσίν...
9. Post βοτάνης] ὑπόθες add. R. F. l. ὑποθείς.
15. ἄκρως om. R, f. mel.
18. A mg. : ὅ ἐστι βατραχύδα, βατράκιον. — φρίνος et φρίνη A, R, partout.
21. βατράχιον, ὃ λέγεται βατραχίς, πονηρὸν φυτόν R.
23. φρ., πτ., ὅ τινες ἰκτ., οἱ δὲ φωρὶν (?) ἢ χλ. ὀνομάζουσιν R.
27. φρ. λίθος, ὃς παρά τισιν βατρ. καλεῖται R.
28. ἡ add. R.

σιδήρου τέμνει ἀποστήματα, καὶ ἐσθίει δοθιῆνας, χοιράδας καὶ ὅσα φλέγματα ὑπάρχει.

7] Ποιήσεις δὲ τὸ ἐπιτιθέμενον ἐμπλάστριον τὸ πλάτος δακτύλων δύο, τῷ δὲ μήκει πρὸς ὃ θέλεις τέμνειν ὡς ἡμιδακτύλιον. Ἐπιτίθει δὲ τῷ φαρμάκῳ κηρωτάριον, μετὰ δὲ ὥρας τρεῖς ἢ ς΄ βαστάσας εὑρήσεις τετμημένον. (f. 48 r.) Χρῆσαι οὖν τοῖς δυναμένοις ἀνακαθαίρειν τὴν τομὴν καὶ τὰ ἕλκη ἐμπλάστροις, ἔπειτα τοῖς ἀρκοῦσιν, ἐπὶ δὲ κόλποις αὐτοῖς παρακολλῶσιν.

8] Ἔστι δὲ τὸ ξυσμάλιον τοῦτο, ἤγουν τὸ ἔμπλαστρον · χυλοῦ τῆς βοτάνης < ο δ΄, ἐν ἄλλῳ < ο α΄, ἀρσενικοῦ, σανδαράχης ἀνὰ < ο δ΄, λεπίδος ἐρυθρᾶς < ο δ΄, λαθυρίδων < ο δ΄, θηράκων κανθαρίδων < ο ς΄, ἀσβέστου < ο η΄, κεδρίας ἢ ῥοδίνου τὸ ἱκανόν. Ἀπόθου λειώσας ἐν ὑελίνῳ ἀγγείῳ · παρατήρει δὲ μὴ ἐπὶ νεύριον ἢ φλέβα ἐπιθῇς, ἵνα μὴ σπασμὸν ἐργάσῃ. Ποιεῖ δὲ καὶ εἰς (f. 48 v.) αἰγίλωπας καὶ τριχιάσεις μετὰ εὐφυίας ἐντιθέμενον. Τὰς δὲ κανθαρίδας ἀπόκοπτε, ῥίπτων αὐτῶν τὰ σκέλη καὶ τὰ πτερά, μόνους δὲ τοὺς θώρακας <λαβών>. Βάλλε δὲ γαλλικὸν < ο δ΄, καὶ τὴν ἄσβεστον ζῶσαν · κόπτε, μάλασσε, λείαινε καὶ ποίει ὡς ἐμπλαστρῶδες καὶ ἐπιτίθει.

9] Τῆς οὖν φώκης αἱ τρίχες αἱ ἀνὰ μέσον τῶν ῥινῶν καὶ τοῦ στόματος εὑρισκόμεναι μεγάλαι καὶ τραχεῖαι, μετὰ τοῦ μέσου τῆς καρδίας τῆς φώκης, ἄκρον καὶ καρδίας ἔποπος καὶ ὀλίγου ἥπατος τῆς φώκης καὶ χρυσανθέμου βοτάνης, τὸ μυρίκιον, ἤγουν μυρμήκιον, καὶ ὕγγος τοῦ στρουθίου τῆς γλώττης, καὶ ὀλίγον μόσχον (f. 49 r.) εἰς δέρμα ἐλάφειον, καὶ λύκου δεξιὸν ὀφθαλμὸν συνδήσας ἔχε · μέγιστον φυλακτήριον πρὸς πᾶσαν καὶ σύστασιν καὶ νίκην · λύει γὰρ πᾶσαν μάχην καὶ εἰς φιλίαν μετατρέπει · ῥύεται δὲ ἀπὸ πάσης ἀνάγκης χαλεπῆς καὶ περιστάσεως, θαλασσίων κινδύνων καὶ πειρασμῶν ἔν τε γῇ καὶ θαλάσσῃ καὶ ἀπὸ δαιμόνων καὶ πάσης νόσου. Παρέχει δὲ καὶ ὑγείαν καὶ εὐπραξίαν, εὐημερίαν εὐπορίαν τε παντοίων ἀγαθῶν, καὶ ἀληθῶς ἐστι μέγα θεόδοτον φυλακτήριον νικητικὸν καὶ φυλακτήριον φιλητήσιον, μάλιστα ἐὰν ἔχῃς καὶ ἀλφαιωνίας ῥίζαν καὶ καρπόν.

10] Οἱ δὲ ὄνυχες τῶν χειρῶν τῆς φώκης (f. 49 v.) βασταζόμενοι ἢ φορούμενοι

3. τὸ δὲ μῆκος R, f. mel.
5. εὑρήσει A. Corr. R. — τετμημένον] designatum et laesum (l. caesum), v. i. qui aj. : in duris autem corporibus dimitte amplius. Post incisionem utere, etc.
7. ἀρκοῦσιν] ναρκῶσιν R ; sanativis v. i. F. l. σαρκοῦσιν. — παρακαλλοῦσιν (*sic*) A ; παρακολλᾶν R. Corr. conj.
8. ξύσμα R. F. l. ξυσμάτιον vel ξύσμα λεῖον ?
10. λεπ. ἐρ. <α΄ R. — θυλάκων R. F. l. θωράκων (pectus v. i.).
11. ῥοδίνου] καὶ ῥιτίνης (l. ῥητίνης) R.
12. ἐπιθήσεις τὸ φάρμακον R.
13. περιτιθέμενον R.
14. λαβὼν] add. conj.
19. F. l. ὀλίγον.
20. ὕγγος] ῥιγγὸς R. F. l. ἴυγγος.
21. F. l. ἔχεις, interpunctione deleta.
23. μεταμείβει R. — ῥύεται δὲ τὸν φοροῦντα ἀπὸ π. ἀν. R. F. l. λύεται.
25. καὶ ὑγ. καὶ εὐφυίαν καὶ εὐπρ. R.
27. ἀλφαωνίας A mg., R ; paeoniae v. i. — ῥίζαν ἢ κ. R.

πᾶσαν βασκανίαν καὶ πᾶσαν νόσον καὶ κάκωσιν ἀπελαύνουσιν. Οὐδὲν οὖν ἄτοπον εἰ καὶ ὄνυχα τῆς δεξιᾶς χειρὸς ἐμβαλεῖς <εἰς> τὸ φυλακτήριον · κρεῖττον γάρ ἐστιν.

11] Αἱ δὲ τρίχες αὐτῆς ἐπὶ κεφαλῆς ἀγρυπνούντων τιθέμεναι ὕπνον ἐπάγουσιν, καὶ ταῖς δυστοκούσαις μέγιστον ἀγαθὸν ἐν λαιῷ μηρῷ περιαπτόμεναι.

12] Τὸ δὲ δέρμα φορούμενον ὡς ζώνη ἐπὶ μὲν τῶν ψυῶν πάντα πόνον νεφρῶν ἰᾶται · ἐπὶ δὲ τὸν πόδα σανδάλια ποιήσας, ποδάγραν ἰῶνται καὶ δυσουρίαν.

13] Ὁμοίως δὲ καὶ τὸ στέαρ τῆς φώκης μιγνύμενον κηρωτῇ ῥητίνῃ ποδαγροὺς ὠφελεῖ καὶ ἀρθριτικούς.

14] Ἐὰν δὲ τὴν (f. 50 r.) καρδίαν αὐτῆς περιάψῃς εἰς κατάρτιν πλοίου, οὐδέποτε ναυαγήσει.

15] Ὁμοίως δὲ καὶ τὴν δορὰν ἐὰν καθηλώσῃς εἰς τὸ ἀκρόπτερον, οὐ πειραθήσεταί ποτε κεραυνοβολίας τὸ πλοῖον.

16] Τὸ δὲ πτηνὸν βρωθὲν ἰκτεριῶντας ἀπαλλάσσει.

17] Οἱ δὲ ὄνυχες αὐτοῦ περιαπτόμενοι τριταῖον ψύχος καὶ καθημερινὸν ἰῶνται ἐν ῥάκει περιαφθέντες.

18] Ἡ δὲ καρδία αὐτοῦ ἐν ῥάκει περιαφθεῖσα καὶ ἐν βραχίονι φορουμένη τριταῖον, τεταρταῖον καὶ ἀμφημερινὸν ψύχος ἰῶνται.

19] Εἰς δὲ τὴν βατραχίτην λίθον γλύψον ἱέρακα · καὶ παρὰ τοὺς πόδας βάτραχον, καὶ κατάκλειε γλῶσσαν βατράχου καὶ ῥιζίον τῆς βοτάνης, καὶ ἄκρον γλώσσης (f. 50 v.) τοῦ πτηνοῦ, καὶ κατακλείσας δὸς φορεῖν · ἵστησιν δὲ πᾶσαν αἱμορραγίαν καὶ ἀσκληπιάδας φερομένας καὶ ἰκτεριῶντας διασώζει.

20] Ποιεῖ δὲ καὶ τοῖς αἷμα ἀνάγουσιν καὶ ταῖς ἀπὸ μήτρας αἱμορραγούσαις. Ἔστι δὲ καὶ πραϋντικὸν θυμοῦ ἐπὶ ὀργῆς ἐχθρῶν, ἐὰν μάλιστα καὶ τὰς τρίχας ὑποκατακλείσῃς τῆς φώκης · διαφυλάττει γὰρ καὶ ἀπὸ θηρίων ἰοβόλων. Ἔχει γὰρ καὶ ἄλλας πράξεις ἃς φράσω θειοτάτας ὁ λίθος οὗτος.

21] Μὴ κάμνε, ψυχή, θνητῷ σώματι χρόνων ἀρχὴν <καὶ> τέλος ἔχουσα · οἶδε γὰρ μόνη γαίη τὸ σῶμα ὃ φορεῖς λύπην ἔχειν νόσοισι πικρὴν καὶ νόμοις κεντούμενον, οὐ μὴν νόμοισι τούτοις, ἀλλὰ καὶ κρίσεις ἔχειν. Σὺ δὲ αὐτὰ πάντα κάμνου καὶ λυπουμένη, (f. 51 r.) θηριώνυμε θεέ, θεῶν ἄκουε καὶ ἐμοῦ τὸν λόγον. Ἄναξ ἁπάντων ἐστὶν ἄνθρωπος μόνος ῥητῶς ἅπαντας ὀνομάζων καὶ βλέπων · καὶ θεῶν ἀείδειν ἀγγέλους καὶ δαίμονας. Εἰς (?) αὐτὸν εἶπας ἐκ θεῶν δαίμονας λαλεῖν ἅπαντα

1. πᾶσαν νόσον] πᾶσαν om. R, f. mel.
2. τῷ φυλακτηρίῳ τοῦ λίθου · κρ. γὰρ... R.
8. ῥοδίνῃ A. Corr. A mg., R.
10. κατάρτιον R. f. mel.
13. κεραύνου βουλείας A. Corr. A mg., R.
18. ἀφημερινὸν R.
20. γλῶσσαν βατράχου] Voir plus loin, p. 56, l. 17 et la note.
25. διαφ. γὰρ] F. l. διαφ. δὲ. — ἔχει γὰρ] ἔχει δὲ R, f. mel.
27. R et le v. i. omettent les §§ 21, 22, 23.
31. ἅπαντας] F. l. ἅπαντα.

ὅσα ἔκτισε μόνος λόγοισι θείοις, ἀγγέλους ὑμῶν. Αὖεις (?) κἀγώ εἰμι συμπαθείαις αὐτοῦ νόμοισιν αὐτοῦ καὶ νόσοις καὶ ἱλαρίαις. Ὦ μοῖρα σεπτὴ ζώοισι, τούτων σὺ πάσχων στιγμαῖς πρὸς ὥραν, ἀναφοραῖς θεῖον ἅπαντα γεννᾷ κόσμος ἐν ῥοπῇ μόνος. Λιποῦσα κἀγὼ σῶμα, εἰς τὸν ἀέρα τραπῶ ὅθεν καὶ ἦλθε δεσπότου συμβουλίαις.

22] Φράσω δὲ ταῦτα ὅθεν ἔχει τὸ θέσφατον · πῶς ἔχει τροφὴν βίου (f. 51 v.) · ὃ δὲ λέγει ἐστὶ τοῦτο. Ὦ πάσης φύσεως μεταμορφουμένη φύσις, ἅπαντα γινώσκουσα τὰ ἐνοῦντα ἀέρι, γαίῃ, καὶ ὀρνέων τὰ τραυλοηχοῦντα μετ' ἐναερίων, ἃ δ' ἄλλα μυκᾶται γένη τετραπόδων, κυνῶν ὑλάσματα, ἑρπετῶν συρίσματα. Τούτων ἀκούσῃ φθέγματα παντὸς τρόπου · μυός, γαλῆς, μυογάλου, ἀσκαλαβώτου, γενησίλφης, ἁπάσης σφηκὸς καὶ μελίσσης παντοίας.

23] Λαβὼν οὖν λίθον ἱερακίτην, γλύψον εἰς αὐτὸν ἱέρακα καὶ περὶ τοὺς πόδας βάτραχον · καὶ ὑπὸ τὸν λίθον ταῦτα · ΜΑΑΛΕΝΕΚΛΑ΄ (ἐν ἄλλῳ ΜΑΛΘΑΛΑ΄) · καὶ ἐπὶ μαγνήτην ζῶντα τὴν αὐτὴν γλυφήν · ὑπὸ δὲ τὸν λίθον γλυφῆς ταῦτα · ΜΑΜΑ΄ΛΑΛΙΝΑ, οἱ δὲ ΜΑ΄ΛΑΛΑΑ · (f. 52 r.) καὶ ἐνδήσεις ὡς ὑπόκειται.

24] Ταῦτα μὲν ὁ Ἁρποκρατίων, καὶ αὖθις · ὁ δὲ Κυρανὸς οὕτως εἰς τὴν τῶν λίθων ἐξέθετο γλυφήν · Εἰς τὸν ἱερακιτὴν λίθον γλύψον ἱέρακα · καὶ ὑπὸ τοὺς πόδας αὐτοῦ βάτραχον, καὶ ὑποκάτωθεν τοῦ λίθου γράφε τοῦτο · ΜΑ΄ΛΑΑ · καὶ εἰς μαγνήτην λίθον τὴν αὐτὴν γλυφήν · ὑποκάτωθεν δὲ τοῦ λίθου · ΜΑ΄ΛΛΕΝΑ.

25] Λαβὼν οὖν ἱέρακα τὸν κοινὸν ὃν καλοῦσιν κιρκαῖον, βύθισον ὕδατι πηγαίῳ ὡς κοτύλας δύο ἕως οὗ ἀποθεωθῇ, τουτέστιν πνῖξον εἰς τὸ ὕδωρ τὸν ἱέρακα ἕως οὗ ἀποθάνῃ. Εἶτα ἄρας αὐτὸν ἔασον ὡς ὥρας ς΄, ὁ δὲ Κυρανὸς (f. 52 v.) ἑπτὰ εἶπεν ἡμέρας τεταριχωμένον · μετὰ δὲ ταῦτα τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ τὴν γλῶτταν καὶ τὴν καρδίαν ἔνδησον μετὰ γλώσσης βατράχου ζῶντος [τοῦ τε μαγνίτου] καὶ τῶν δύο λίθων, τοῦ μαγνήτου καὶ τοῦ ἱερακίτου, καὶ ὀλίγου ῥινίσματος σιδήρου, διὰ τὸ εἶναι ζῶντα τὸν μαγνήτην, καὶ συνδήσας ἔχε · μέγα φυλακτήριον. Ἔστωσαν δὲ ταῦτα πάντα δεδεμένα εἰς τὸ δέρμα τοῦ ἱέρακος · τὸν δὲ δεσμὸν τοῦ φυλακτηρίου ποίει ἐκ τῶν νεύρων τοῦ ἱέρακος ὡς σπαρτίον ἄκλαστον, λεπτόν, ἐπιμηκέστερον, ἵνα φορούμενον ἐπὶ τὸν τράχηλον φθάσῃ ἕως τοῦ στομάχου καὶ τῆς καρδίας κατὰ μέσον · καὶ προγνώσεις πάντα. Τοῦτο (f. 53 r.) μηδὲ ἰδίῳ τέκνῳ παραδίδου ἢ δίδασκε.

1. ὑμῶν] F. l. ὑμνῶν. — F. l. συμπαθής.
2. ἱλαφίαις A. Corr. conj. — δ μήρα A. Corr. conj. — σὺ πάσχων] F. l. συμπάσχων.
3. θεῖον F. l. θεῶν.
4. F. l. ἦλθον.
14. ἐνδύσεις A. Correxi.
15. Les mots Ταῦτα ∾ γλυφήν sont omis dans R.
17. ΜΑ΄ΛΑΑΑ R.; *Mlăaăa* quod est *malaa* v. i. — ΜΑΛΘΑΛΑ] *Mer gyf Rai maa oraa* v. i.
18. ΜΑ΄ΛΛΕΝΑ] *aaa Maaa Gyna.* Alii autem habent ita *Maaaaa* v. i.
19. ἱέρακαν R (forme usitée presque partout dans ce ms.). — κίρκεον A; κηρκέον R. A mg. : κίρκεως ὅ ἐστιν τὸ γιοχάκυν. Circum v. i. Corr. conj.
20. ἀποθεωθῇ] ἀποθάνῃ R, qui om. τὸν ἱερ. ∾ ἀποθάνῃ.
21. ὡς ὥρας ∾ ἡμέρας] per dies vii v. i.
23. τοῦ τε μαγν. om. R, f. mel.
24. τοῦ μαγν. δηλονότι κ. τ. ἱ. R.
25. συνδήσας, ἔχε μ. φυλ. A interpungit.
29. μήτε A. Corr. R. — τέκνῳ σου R, qui om. ἢ δίδασκε.

26] Τὸ δὲ ἀκόλουθον ἀπόγευμα τοῦ φυλακτηρίου τοῦτό ἐστι. Βαλὼν εἰς προπεποτισμένον ἀγγεῖον ὀστράκινον τὸ ὕδωρ ἐν ᾧ ἀπεθεώθη ὁ ἱέραξ, καὶ μέλιτος κοτύλην α', καὶ λιβανωτίδος ῥίζης βοτάνης < ο δ', λείας κρίθας βεβρεγμένας ὕδατι ποταμίῳ ἕως ἂν βλαστήσωσι, καὶ ἔξω τὰς γλώσσας ἔχωσιν κη' καὶ βατραχίου βοτάνης < ο δ', ἐν ἄλλῳ δὲ λιβάνου < ο α', ἐν ἄλλῳ δὲ χαμελαίας βοτάνης ἐλαίας γ'. Ταῦτα λειώσας ἕψει μετὰ τοῦ συνθέματος ἕως γένηται ἐκλείγματος σύστασις, καὶ ἀπόθου εἰς ὑέλινον ἀγγεῖον (f. 53 v.) εὖ μάλα φιμώσας. Ὅταν δὲ αὐτὸ ἀποτιθῇς, ἔμβαλε εἰς αὐτὸ καρδίαν κούκοφος ἔτι θερμὴν καὶ σπαίρουσαν, καὶ ὀλίγον ἐκ τοῦ αἵματος αὐτοῦ · εἶτα ἑτέρου κούκοφος καρδίαν κατάπιε ἔτι σπαίρουσαν ἐπιπιὼν ὑδρόμελι, καὶ ἔσῃ τετελεσμένος εἰς τὸν ἀεί σου βίον. . . . .

27] Ὅταν οὖν θέλῃς ὅσα γίνεται ἐν κόσμῳ ἢ ἐν οὐρανῷ ἢ κατὰ κλίματα ἢ κατὰ πόλιν ἢ κατ' ἄνθρωπον ἢ ἐν τῷ οἴκῳ σου ἢ ἄλλῳ οἴκῳ περὶ γυναικῶν καὶ ἀνδρῶν, ἢ κλεπτῶν <μαθεῖν>, πρόγευσαι ἐκ τοῦ συνθέματος δάκτυλον α', καὶ ἐπίπιε γάλα βοὸς καὶ ὑδρόμελι · φόρει δὲ τὸ προειρημένον φυλακτήριον (f. 54 r.) περὶ τὸν τράχηλον ἵνα ἅπτηται εἰς τὴν καρδίαν σου καὶ τὸν στόμαχον · καὶ ἔσῃ προγινώσκων ὅσα θέλεις ἐννοεῖσθαι · ἔσῃ γὰρ πάντα τὰ προειρημένα νοῶν, βίους τε καὶ μοίρας ἀνδρῶν τε καὶ γυναικῶν, καὶ κλεπτῶν καὶ δραπετῶν τὸ ποῦ καὶ πῶς, καὶ ἁπλῶς ἅπαντα.

28] Ταῦτα μὲν ἀμφότεροι ἐξίσου συνεγράψαντο. Ὁ δὲ Ἁρποκρατίων καὶ ταῦτα · Ἐξορκίζω σε, τέκνον, οὐρανον, ἀέρα, γῆν, βυθόν, πηγάς τε καὶ ποταμούς, καὶ τὸν εἰσπνέοντα εἰς σὲ θεόν, μηδενὶ μεταδοῦναι τὸ μυστήριον τοῦτο, μηδὲ ἰδίῳ τέκνῳ, εἰ (f. 54 v.) μὴ ἄξιος εἴη εἰδέναι τὴν φύσιν ταύτην. Θεοὶ δὲ πάντες οὓς προσκυνοῦμεν ταύτην ἔχουσιν τὴν δύναμιν, ἀλλὰ μηδενὶ φράσῃς, ἀλλ' ὡς σοφῇ ψυχῇ χρῶ πλὴν τινος ἑτέρου.

1. F. l. προπεποριсμένον.
2. ἀποθεωθῇ] ἀπέθανεν R. — Après ἱέραξ] et de illa aqua tolle ξ ɪɪ add. v. i.
3. βοτάνης < δ', λιβ. < α', ἐν ἄλλῳ δὲ δ' R.
4. γλώσσας] grana v. i.
5. < ο α'] ξ ɪᴠ v. i.
6. συνθέματος] hydromelle v. i. — εἰλίγματος A, R. Corr. conj. — σύστασις] πάχος R.
7. ἀγγεῖον] σκεῦος R.
8. κούκουφος R. F. l. κουκούφου. — καὶ ὀλίγον ∾ σπαίρουσαν om. R.
10. Après βίον] Addition du v. i. : Bonum autem est, si et praedictos lapides intinxeris in eandem compositionem et adeo indigenti tibi tribues, vel etiam annulum ita servabis, et eris perfectus. La lacune du texte grec provient, par homéotéleuton, du mot τετελεσμένος (perfectus).
11. οὖν] δὲ R. — ἢ κατὰ κλ. ∾ οἴκῳ σου om. R.
13. μαθεῖν add. R.
14. καὶ ὑδρ.] μετὰ ὑδρομέλιτος R.
15. ἅπτηται ∾ στόμαχον] ἅπτ. τῆς καρδίας καὶ στομάχου R, f. mel. — καὶ ἔσῃ πρ.] καὶ γνώσῃ R, qui om. ἔσῃ γὰρ ∾ νοῶν.
17. τὸ ποῦ] τόπου A. Corr. R.
19. Le § 28 manque dans le v. i.
20. R mg. : Ἐξορκισμός. — Ἐξορκίζω...] Formule analogue chez Wessely, *Neue griech. Zauberpapyri*, p. 29, vers 277.
22. Θεὸς γὰρ πὰν ᾧ προσκ. τ. ἔχει δυν. R.

ΣΤΟΙΧΕΙΟΝ Χ.

1] Χρυσάνθεμος, βοτάνη.

Χρυσόπτερον, πτηνόν.

Χρυσοφός, ἰχθύς.

Χρυσίτης, λίθος.

2] Χρυσάνθεμος, βοτάνη <πασίγνωστος>.

3] Χρυσόπτερον, ζῷον ὡς ὄρτυξ τὸ μέγεθος.

4] Χρυσοφὸς δέ, ἰχθὺς ἐδώδιμος, θαλάσσιος, γνωστός.

5] Χρυσίτης, λίθος ποικίλος, ὡς χρυσίζων.

6] Τῆς οὖν χρυσανθέμου τὸ ἄνθος ἐστὶ χρυσίζον ὡς εἰ καλυκοειδὲς καὶ κατὰ μέσον τοῦ ἄνθους, ὡσεὶ μυρμήκια μικρὰ (f. 55 r.) μέλανα, βραχέα πτερὰ ἔχοντα · ταῦτα καλεῖται αἷμα κοσμικόν · τοῦτο ὁρᾶται πρὸ ἡλίου ἀνατολῆς, ἡλίου ὄντος ἐν κριῷ · καὶ ἀποτίθεται ἐν ὑελίνῳ ἀγγείῳ μετὰ ῥοδίνου καὶ ὀλίγου τοῦ ἄνθους τῆς βοτάνης. Εἶτα πρωὶ προερχόμενος ἁγνὸς ὤν, βραχὺ λαβὼν ἐξ αὐτοῦ ἀλείφου τὰς ὄψεις, καὶ πορεύου θαρρῶν · ποιεῖ γάρ σε προσφιλῆ, ἐπιχαρῆ, εὐσύστατον πρὸς πάντας καὶ πάσας. Ἐὰν δὲ τοῦ ἡλίου ἀνατέλλοντος οὕτως ποιήσῃς, κρεῖσσον ἐνεργήσει.

7] Ποιεῖ δὲ καὶ πρὸς μοιρικὰς ἀνεπιτυχίας, ἀπραξίας, καὶ τὰ τοιαῦτα.

8] Τῆς (f. 55 v.) οὖν ῥίζης τῆς βοτάνης <μέρος λαβὼν> μετὰ λίθου τοῦ ἐκ τῆς κεφαλῆς τοῦ ἰχθύος, περίαπτε ἐν ῥάκει πρὸς ὀδύνας τῶν ὀδοντοφυούντων παίδων.

9] Τοῦ δὲ χρυσοπτέρου ὀρνέου οἱ ὀφθαλμοὶ περιαπτόμενοι τριταΐζοντας διασώζουσιν · ἡ δὲ καρδία αὐτοῦ περιαπτομένη πυρετιῶντας ἀπαλλάσσει.

10] Οἱ δὲ ἐν τῇ κεφαλῇ <τοῦ ἰχθύος> λίθοι περιαπτόμενοι τραχήλῳ φθισικοὺς ἰῶνται.

11] Εἰς δὲ τὸν χρυσίτην λίθον γλύψον τὸ ὄρνεον βασίλειον ἔχον δισκοειδὲς καὶ παρὰ τοὺς πόδας τὸν ἰχθύν, καὶ ὑποκατακλείσας ῥιζίον τῆς βοτάνης δίδου φορεῖν. Πρὸς γὰρ ἀλγηδόνας τοῦ στομάχου καὶ ἀναδρομὴν (f. 56 r.) μήτρας καὶ νεφρῶν <ποιεῖ>.

12] Ποιεῖ δὲ ἐπιχαρῆ τὸν φοροῦντα καὶ ἐν πᾶσι φιλητόν.

2. χρυσάνθεμις R. F. l. χρυσάνθεμον.
6. χρυσ. βοτ. om. R. Ajouté πασίγν. d'après le v. i. : omnibus nota.
8. F. l. χρυσωπός. — δὲ om. R, f. mel.
9. ὡς] F. l. καὶ.
12. ὁρᾶται] αἴρεται R.
16. κρεῖσσον] κρειττόνως R.
18. μέρος add. R. — λαβὼν addidi e conj.
19. τῶν ὀδοντοφυῶν παιδίων R.
21. χρυσοπτερύγου R. — Verba τριταΐζοντας ∾ περιαπτόμενοι om. R.
23. τοῦ ἰχθύος] add. conj. (ejus v. i.)
28. ποιεῖ add. R.
29. Ποιεῖ ∾ πυρέσσοντας] Réd. de R : ἔστιν δὲ (lire ἔτι δὲ) καὶ ἐπίχαριν κ. ἐ. π. φ. ποιεῖ τ. φ. καὶ πρὸς τοὺς πυρ. ∾ ἡλίου, ὠφελεῖ.

13] Ποιεῖ καὶ πρὸς τοὺς πυρέσσοντας ἐὰν εἰς ἔλαιον βληθῇ καὶ συγχρίσῃ τῷ ἐλαίῳ πρὸς δυσμὰς ἡλίου.

14] Ἔχει δὲ καὶ ἄλλας ἐνεργείας πρὸς φιλτροπόσιμα ἐὰν βραχῇ εἰς οἶνον, καὶ πίε.

15] Ἐὰν δὲ καὶ λίθον ἔχῃς τῆς κεφαλῆς τοῦ ἰχθύος σὺν τοῖς λεχθεῖσιν, καὶ φθισικοὺς ὠφελεῖ σφόδρα.

ΣΤΟΙΧΕΙΟΝ Ψ.

1] Ψύλλιος, βοτάνη.
Ψύλλος θαλάσσιος.
Ψαρός, πτηνόν.
Ψωρίτης, λίθος, ὁ καὶ πῶρος ᾀδόμενος.

2] Ψύλλιός ἐστι βοτάνη πᾶσι γνωστή.

3] Ψύλλος (f. 56 v.) θαλάσσιος, μικρὸν ζωΰφιον ᾧ χρῶνται οἱ ἁλιεῖς παρὰ τοὺς αἰγιαλούς.

4] Ψαρός, πτηνὸν γνωστὸν πᾶσι.

5] Ψωρίτης, λίθος ὃν καὶ πῶρον καλοῦσιν.

6] Τῆς οὖν βοτάνης τοῦ σπέρματος < ο γ', ὕδατος κοτύλας δύο ἕψε ἕως ἰξῶδες γένηται, καὶ εἰλήσας ἐν ῥάκει τὸ μὲν σκύβαλον τοῦ ἐκπιέσματος ῥίψον, εἰς δὲ τὸ ὕδωρ τοῦ χυλοῦ ἐπίβαλλε κηροῦ γο ϛ', ἐλαίου γο ϛ'. Εἶτα ἕψε ἕως οὗ λυθῇ ὁ κηρός · εἰς θυείαν λείου εὖ μάλα. Τοῦτο γάρ ἐστιν ἔνθεον κατάπλασμα ποδαλγικὸν καὶ τοῖς πυρῶδες ὄλεθρον ἔχουσιν.

7] Ἐὰν δὲ τῷ αἵματι τοῦ ὀρνέου ἀνέσῃς τὸν λίθον, καὶ περιχρίσῃς τὸ μέτωπον, (f. 57 r.) τριταΐζοντας καὶ τεταρταΐζοντας διασώσεις.

8] Ἐὰν δὲ <εἰς> τὸν προειρημένον χυλὸν τῆς βοτάνης ἐνήσεις τὸν λίθον καὶ περιχρίσῃς πυρέσσοντας ἢ κεφαλαλγοῦντας τὸ μέτωπον, φυλάσσεις ἀνωδύνους.

9] Ψύλλους δὲ θαλασσίους <λαβὼν> μετὰ ψυλλίου σπέρματος κόκκων κη' (ἐν ἄλλῳ κοτύλας η') ἐν ῥάκει περιαπτόμενα τριταῖον ῥιγοπύρετον ἀπαλλάσσεις.

1. συνχρίσῃ A. F. l. συγχρίσῃς.
3. βραχὺ A, R. Corr. conj. — πίε] ποθῇ R.
8. F. l. ψύλλιον.
13. ψύλλιος R.
17. Réd. de R : Τῆς οὖν βοτ. τ. σπ. μέρος μετὰ πηγαίου ὕδ. ἕψει κοτ. β' ἕως... — <ο γ'] τοῦ γεῖν A. Corr. v. i. (F. l. <ο γ' εἰς ὕδ. κοτ. δύο).
18. εἰλίσας A. F. l. ὑλίσας; exprime v. i. — τοῦ ἐκπιέσματος om. R.
19. κηρὸν A. Corr. R. — λυθῇ] F. l. χυθῇ.
20. εἰς θυείαν λ. εὖ μάλα] εἶτα ἐξελὼν ἔχε R. — ποδαλγικοῖς R, f. mel.
21. πυρρῶδες A. Corr. R.
22. ἀνίσεις R. F. l. ἐνήσεις (cp. l. 24). — καὶ ἐξ αὐτοῦ περιχρίσῃς R, qui omet τὸ μέτωπον ∿ περιχρίσῃς (l. 25).
24. εἰς addidi e conj. — ἐνίσῃς A. Corr. conj.
25. εἰς τὸ μέτωπον R.
26. λαβὼν addidi e conj. — cum psyllii seminibus VIII v. i.

10] Ψύλλους δὲ θαλασσίους πολλοὺς ἕψε μετὰ θαλασσίου ὕδατος καὶ ῥαῖνε ὅπου πολλοί εἰσιν ψύλλοι, καὶ οὐχ ὑπάρξουσιν ἔτι.

11] Εἰς δὲ τὸν ψωρίτην λίθον γλύψον ψύλλους θαλασσίους γ′, καὶ ὑπὸ κάλαμον χλωρὸν ἑστῶτας, καὶ κατάκλεισον ῥιζίον (f. 57 v.) τῆς βοτάνης, καὶ δίδου φορεῖν πρὸς τὰ ἐξαλλόμενα παιδία καὶ τρίζοντα τοὺς ὀδόντας.

12] Ἐὰν δὲ ἁλιεὺς αὐτὸ φορῇ ἀγρυπνῶν ἐν ἡμέρᾳ ἐπὶ ποταμὸν ἢ λίμνην, μεγάλως ἐπιτύχει τῆς ἁλείας.

ΣΤΟΙΧΕΙΟΝ Ω.

1] Ὤκιμος, βοτάνη.
Ὠκύπτερος, πτηνόν.
Ὦμις θαλασσία.
Ὠκυτόκιος, λίθος.

2] Ὤκιμον, φυτὸν ἐδώδιμον, λαχανῶδες, πᾶσι γνωστόν, εὔοσμον.

3] Ὠκύπτερος, πτηνόν, σεβάσμιον ζῷον, ἡ κοινὴ χελιδών.

4] Ὦμις θαλασσία, ὅ ἐστι βεμβράς, ἄλλως δὲ λύημβρος, λεπτὸν ζῷον ἐσθιώμενον ὃ καλοῦσι μαινίδα.

5] Ὠκυτόκιος (f. 58 r.) λίθος ἐστὶν ὁ μικρότερος <ἢ> ἀετίτης καὶ κρουόμενος. ἔστι δὲ λεῖος τῇ θέλξει.

6] Ἱστορήσαμεν δὲ περὶ τοῦ φυτοῦ τοῦ ὠκίμου καὶ ἔχει πράξεις μεγίστας. Ἐάν τις [αὐτὴν] μαστησάμενος τοῦτο τὸ φυτὸν νῆστις, ἀπλύτου αὐτοῦ ὄντος, καὶ θῇ ἐν ὑπαίθρῳ νύκτας ἑπτά, τοῦ ἡλίου μὴ ἐπιθεωρήσαντος, ἡμέρας μὲν συστελλομένου, νυκτὸς δὲ αἰθριαζομένου, εὑρήσει σκορπίον ἑπτασφόνδυλον, χλωρόν. Οὗτος ἐὰν τύψῃ τινά, τριταῖος φυσηθεὶς τεθνήξεται.

7] Ἐὰν δὲ αὐτὸν ἀποθεώσας ὕδατι ἢ οἴνῳ δῷς τινι πιεῖν, ὁ πιὼν ἐξανθήματα ἕξει περὶ ὅλον τὸ σῶμα, ἐκ δὲ (f. 58 v.) τούτων ἕλκη ἀνίατα.

8] Ἐὰν δὲ τρίψῃς τὸν αὐτὸν σκορπίον μετὰ σπέρματος σκορπιούρου βοτάνης

7. F. l. ἐπιτύχοι.
9. A mg. : ῥαϊχὰν παρὰ Πέρσαις · τὸ βασιλικόν. — Ὤκιμος] ita A, R, sed ὤκιμον A infra et hic v. i.
10. ὠκύπτερον R partout.
11. ὦμυς R partout.
14. κοινὴ om. R.
15. βέμβρας,] ἄλλος δὲ λύημβρος A ; β. ἄλλως δὲ λίημβρος A ; ibembras, alius autem kymbros v. i. F. l. μεμβράς. Cp. Athénée, *Deipnosoph.* VII, 28.
18. θέλξει] θέᾳ R ; tactu v. i. F. l. θίξει
19. καὶ] F. l. ὡς (confusion fréquente dans les mss.). (« Quod » v. i.)
20. αὐτὴν om. R.
21. ἡμέρας ∾ σκορπίον] Réd. de R : διὰ τὸ τὰς ἡμέρας (en signe) συστέλλειν αὐτό, καὶ νυκτὸς αἰθριάζειν, εὑρήσει γεννηθὲν τοῦτο σκορπίον...
22. Οὕτως R.
24. δὲ] οὖν R. — ἀποθ. ἤγουν πνίξας R. — δῷς τινι ∾ ἀνίατα] Réd. de R : καὶ τοῦτο δώη πιεῖν τινι ὁ πιὼν (πιὸν ms.) ἐξ αὐτοῦ. 4 signes cryptographiques ἕξει περὶ τὸ (τῶ ms.) σῶμα αὐτοῦ, πρὸς δὲ τούτοις καὶ ἕλκη (ἕλκει ms.) ἀνίατα.

καὶ ποιήσῃς καταπότια, ξηράνας δὲ ἀποθῇς ἐν ὑελίνῳ ἀγγείῳ καὶ δώῃς τινὶ ἐπιληψίᾳ πειραζομένῳ, οὐκέτι βλαβήσεται · δίδου δὲ ἐπὶ ἡμέρας ζ' ἀνὰ τρία καταπότια νήστῃ εἰς εὔκρας · ἐὰν δὲ ὑγιαίνοντι δώῃς, σεληνιασθεὶς οὐκέτι σωθήσεται.

9] Ἐὰν δὲ χυλοῦ τῆς ὠκίμου βοτάνης μετὰ κόπρου χελιδῶνος συγχρίσῃς, τεταρταΐζοντας ἀπαλλάξεις.

10] Ἐὰν δὲ πτερὸν χελιδῶνος καὶ ῥιζίον ὠκίμου δώῃς κρατεῖν δυστοκούσῃ γυναικί, παραυτὰ τέξεται ἀκινδύνως.

11] (f. 59 r.) Πτερὸν δὲ τοῦ ζώου εἴπερ βάλλεις εἰς οἷον δήποτε μύρον, μεγίστην μοιρικὴν καὶ μεσιτείαν ἕξει ἀπὸ πάντων καὶ πασῶν.

12] Περὶ δὲ κοινοῦ σκορπίου οὐκ ἀποκρύψω διὰ τὴν πλάνην τῶν ἀσόφων. Πλάνη γάρ ἐστιν ἐν ἀέρι φυτουμένη. Ἐὰν γὰρ βάλλῃς τὸν κοινὸν σκορπίον εἰς ἔλαιον κοτύλην μίαν ἐν ἀποκρούσει σελήνης καὶ ἔχῃς ἀποκείμενον, συγχρίσῃς δέ τινος ῥάχιν, καὶ ἄκρον ποδῶν καὶ χειρῶν, τὴν δὲ ῥάχιν χρίῃς ἐπάνωθεν ἐκ τοῦ σπονδύλου [ἄχρι] ἕως κάτω καὶ τὸ μέτωπον καὶ τὴν κεφαλὴν πρὸ τῆς ὥρας τῆς ἐπισημασίας, τριταῖον, τεταρταῖον καὶ ἀμφημερινὸν τύπον ἰάσεις (f. 59 v.) · κουφίσεις δὲ καὶ σεληνιαζομένους καὶ δαιμονιζομένους.

13] Ἐὰν δὲ πτερὸν βάλῃς τοῦ πτηνοῦ εἰς ἔλαιον ἄλλο, καὶ συγχρίσῃς τὸν ἀπαλλαγέντα, ἐπανελεύσεται αὐτῷ τὸ πάθος, καὶ οὐ σωθήσεται.

14] Ὀπτὸς δὲ ὁ κοινὸς σκορπίος ἐσθιόμενος ὑπὸ λιθιώντων ποιεῖ αὐτοὺς ἐξουρεῖν τὸν λίθον ἀβασανίστως.

15] Κέντρον δὲ τοῦ σκορπίου καὶ τῆς ὠκίμου βοτάνης τὸ ἄκρον ἐν ᾧ ἐστιν τὸ σπέρμα καὶ χελιδῶνος καρδίαν περίαπτε ἐν ἐλαφίῳ δέρματι · σεληνιαζομένους τῆς μανίας ἀπαλλάξεις. Τοῦτο δὲ τὸ φυλακτήριον ἐξελαύνει καὶ τοὺς ἀπειθοῦντας ἐξελθεῖν δαίμονας.

16] Τὸν δὲ λίθον τὸν προδηλωθέντα λείωσον μετὰ χυλοῦ τῆς βοτάνης καὶ αἵματος τοῦ πτηνοῦ · (f. 60 r.) καὶ κεφαλὴν μίαν τῆς ὤμιδος καὶ ὀλίγον ὕδατος, καὶ ἔχε ἀποκείμενον ἐν ὑελίνῳ ἀγγείῳ, καὶ ὅτε θέλεις ἐπίδειξιν ποιῆσαι, μόλυνον τοὺς δακτύλους τῆς εὐωνύμου χειρὸς ἢ τῆς δεξιᾶς, καὶ ἅψεις οἵου θελέσεις ἰσχυροτάτου λίθου ἢ ξύλου, ἢ ὀστέου, καὶ θραυσθήσεται παραυτίκα ὥστε δοκεῖν τοὺς παρατυχόντας μάγον σε εἶναι.

8. ἀκινδύνως] ἀνωδύνως R.
9. A mg. : ὠκυτόκιον καὶ μισιτικὸν (l. μεσιτικὸν).
10. μισιτίαν A. Corr. R. — F. l. ἕξεις (habebis v. i.)
12. Ἐὰν γὰρ] γὰρ om. R, f. mel.
14. χρίε A ; om. R. Corr. conj. — ἄχρι om. R.
15. ἐπισημασίας] annonce de l'accès de fièvre. (Dioscoride, I, 15.)
17. καὶ δαιμονιζομένους om. R.
23. Après δέρματι] καὶ τούτους (τῆς μανίας om.) ἀπαλλ. R.
26. προρηθέντα R. — μετὰ τοῦ χ. R.
28. ἀγγείῳ] σκεύει R.
29. τῆς εὐωνύμου ∾ δεξιᾶς om. R.
30. ὥστε ∾ εἶναι] ὥστε φαίνεσθαί τισι μάγος R.

17] Θειοτάτην δέ, ἔφη ὁ Ἁρποκρατίων, καὶ δεικτικὴν εἴδομεν πρᾶξιν ἐν μητροπόλει γεναμένην τῆς Βαβυλωνίας χώρας.

18] Ἐὰν γάρ τις ἐπιούσης τῆς ὤμιδος ἐπ' ἀνθράκων ἀκάπνων τὴν κεφαλὴν ἐπιθήσει ἐπὶ δωμάτων καθαροῦ ὄντος τοῦ ἀέρος, νυκτός, ἰδίας ποιήσει συνδρομὰς πάντων τῶν φαινομένων ἀστέρων.

19] Ἐὰν δὲ ἐν πανσελήνῳ (f. 60 v.) βάλῃ τις τὴν κεφαλὴν τοῦ ζώου ἐντὸς ἰσχάδος, καὶ ἐπιθήσει τῷ πυρὶ ὀψίας τοῦ ἀέρος ἡσυχάζοντος, ὄψει οὖν τὸν δίσκον τῆς σελήνης ὡς ἐπὶ τὸ ἥμισυ τοῦ οὐρανοῦ.

20] Ἐὰν δὲ μίξῃς μετ' αὐτῶν βραχύ τι ἀπὸ ἀστέρος θαλασσίου, ἴδοις ἂν παμμεγεθὲς γινόμενον τὸ στοιχεῖον καὶ ἑστὼς παρὰ τοὺς πόδας σου.

21] Ἐὰν δὲ πυρίτην λελειωμένον συνεπιθήσεις, βρονταὶ καὶ ἀστραπαὶ γενήσονται.

22] Ἐὰν δὲ γῆν ἀπὸ οἰκίας ἀνθρώπων συνεπιθήσεις, σεισμὸς γενήσεται τῷ τόπῳ.

23] Ὤμιδα δὲ ἐκάλεσαν τὴν μαινίδα διὰ τὸ ἔχειν αὐτὴν ἐν τοῖς ὤμοις μεγίστην δύναμιν. Ἔχεις γὰρ σκευὴν καταπλάσματος τοιαύτην· τῶν ὄντων ὀστέων ἐν τοῖς ὤμοις τῶν μαινίδων γο α', μανδραγορίου μῆλα γο α', ὑοσκυάμου σπέρματος γο α', (f. 61 r.) ὀπίου γο α', ῥόδων ξηρῶν γο α', ἁλικακάβου τῶν φλοιῶν τῆς ῥίζης γο γ', κολοφωνίαν μνᾶν α', θείου γο α'. νίτρου γο α'· σκεύαζε ὡς ἐπίθεμα καὶ κατάπλασσε ὃν θέλεις, καὶ ταχέως ἀπαλλάξεις τῆς νόσου.

24] Ἐὰν δὲ ποιήσῃς τὸ κατάπλασμα ἡμέραν α' ἐπικείμενον καὶ θελήσῃς ἄλλως βοηθῆσαι, οὐδὲν ὠφελήσει, οὐ γὰρ ὑπερβήσεται ἡμέρας ζ'· τοῦτό ἐστιν ἴαμα τῶν ὑποτεταμένων.

25] Ἐκλήθη δὲ μαινὶς διὰ τὸ ἔχειν σκευὴν μανίας τοιαύτην. Λαβὼν οὖν τῆς μαινίδος τοὺς ὀφθαλμοὺς βάλε εἰς οἴνου κοτύλην α'. (ἐν ἄλλῳ· ἐς σούσινον). Καὶ ἔα βρέχεσθαι ἐπὶ ἡμέρας ζ'. Εἶτα ἐπίβαλλε τῷ οἴνῳ κόκκους σπέρματος μανδραγούρου < ο ιδ', κυνοσβάτου (f. 61 v.) κόκκους < ο δ', σκορπιούρου βοτάνης σπέρμα < ο δ'· ἕψε ἕως εἰς ἡμίσειαν ἔλθῃ, καὶ ἀποθέμενος χρῶ οὕτως.

26] Ἐὰν ἴδῃς τινὰ ἐντὸς μανίας ὄντα, δίδου αὐτῷ ἐκ τοῦ οἴνου ὅσον < ο α' μεθ' ὕδατος θερμοῦ, καὶ σωθήσεται. Ἐν ἄλλῳ κοτύλην <α'> εἶχεν ἵνα διδῶται.

27] Ἐὰν δὲ πεπτωκότι καὶ μαινομένῳ δῴης μετ' οἴνου πιεῖν, μανήσεται.

3. γάρ] F. l. δέ. — ἐπιθύσει A. Corr. R. Voir un exemple de ἐάν avec l'indicatif (ἐὰν ἐνέστη) dans les *Notices et extr. des mss.* t. XVIII, 2ᵉ partie (Papyrus grecs), p. 359.

10. παμμεγεθὲς ... στοιχεῖον] magnum Stichium, is est daemon fortunae. v. i. — παμμ. στ. est peut-être la plus grande ombre du cadran solaire. Cp. Pollux, *Onomasticon,* VI, VIII, 44.

14. γὰρ] F. l. δὲ.

17. θείου γο δ', νίτρου γο δ' R; v. i. sicut A. — σκ.] ταῦτα ὁμοῦ σκ. R.

18. ὂν θέλῃς A; ὃ ἂν θέλῃς R. Correxi.

21. ὑποτεταγμένων R; superpositorum v. i.

24. μανδραγόρας R, f. mel.

25. σπέρματος R, f. mel.

26. ἕως λειφθῇ τὸ ἥμισυ (ἥμ. en signe) R.

27. ἐκ τοῦ οἴνου om. R.

28. α' om. A, v. i; add. R.

29. F. suppl. καὶ < μὴ > μαινομένῳ. — μανήσεται] τοὐναντίον add. R (glose insérée dans le texte?); alleviabitur (μανώσεται ?) v. i. hic et infra.

28] Ἐὰν δὲ μετὰ κολλουρίου οἵου δήποτε ἀνέσας δῷς ἐγχρίσασθαι, ὑποχυθεὶς τοὺς ὀφθαλμοὺς ἐντὸς ἡμερῶν ἑπτὰ μανήσεται.

29] Ὠταλγοῦντα δὲ ἐὰν ἐξ αὐτοῦ θεραπεύσῃς, κωφὸς γενήσεται.

30] Οἱ δὲ ἐν τῇ κεφαλῇ τῆς μαινίδος λίθοι λειωθέντες καὶ μετὰ χολῆς ἀλάβητος μέλαινος καὶ ἐγχρισθέντες ποιοῦσιν τὰ ἐν τῇ σκοτίᾳ φαίνεσθαι καὶ βλέπειν.

31] (f. 62 r.) Ἐὰν δὲ προσμίξῃς βραχὺ μάγνητος ζῶντος, καὶ ὀλίγον ὕδωρ ὄμβριον, ἐγχρισθεὶς τὰ ἐν οὐρανῷ καὶ ἐν ἀέρι θεωρήσει ἐπὶ ἡμέρας ἑπτά.

32] Γλύφον δὲ ἐν τῷ λίθῳ χελιδόνα, καὶ παρὰ τοὺς πόδας τὸν σκορπίον ἐπὶ τὴν μαινίδα ἑστῶτα, καὶ ὑπὸ τὸν λίθον ὑποκατάκλεισον τοὺς ὀφθαλμοὺς τοῦ σκορπίου καὶ τῆς μαινίδος, καὶ σκορπιούρου ῥιζίον, καὶ κατακλείσας φόρει · ἀποστρέφει γὰρ παντοίων ἰοβόλων ζῶον τετράπουν ἑρπετῶν καὶ πάντων ἑρπετῶν ἰοβόλων · καὶ πάντας ἐχθροὺς καὶ ἐπιβούλους ταπεινοῖ.

33] Ἐὰν δέ τις πληγῇ ἀπὸ σκορπίου, καὶ ἐν τῇ σφραγίδι σφραγίσῃ, τὴν πληγὴν παραυτὰ παύσεται.

34] Ἐὰν δὲ ἀπὸ μαινομένου κυνὸς δηχθῇ τις καὶ γενόμενος ὑδροφόβος τὸ ποτὸν μὴ λαμβάνῃ, (f. 62 v.) λαβὼν δὲ τὸν δακτύλιον βάλε εἰς ὕδωρ, καὶ δὸς πιεῖν, <καὶ> ὁ πιὼν σωθήσεται.

35] Ἐὰν δὲ πρὸ τοῦ μανῆναι δώῃς προπιεῖν, οὐ μανήσεται.

36] Ἐὰν δὲ τῆς μαινίδος τὴν γλῶσσαν νεαρᾶς οὔσης δώῃς τινὶ λειανθεῖσαν μεθ' ὕδατος, βαλὼν [δὲ] δακτύλιον κάτω δώῃς τινι μαινομένῳ, σωθήσεται · εἰ δὲ νήφοντι, μανήσεται. Τούτου λύσις · μαινίδα ὀπτὴν δὸς φαγεῖν · μανήσεται ἄνθρωπος ἀγνοῶν τὰ λεχθέντα ἅπαντα. Ὡς φράζει κυρανὶς θεία βροτοῖς.

37] Οὕτως ὁ Ἁρποκρατίων ἐνταῦθα τὴν βίβλον ἐπλήρωσεν · καὶ ἕτερον αὐτοῦ βιβλίον ἐκ τούτων τῶν λεγομένων κυρανίδων ἡμεῖς οὐχ εὕρομεν · ἀλλ' ἐν τούτῳ μὲν ὅσον διεφώνει ὁ Ἁρποκρατίων πρὸς τὸν Κυρανόν, ἢ ἕτερος ἑτέρου,

1. Réd. du v. i. : Si autem cum aqueo collyrio immiscueris et infusionem feceris, etc. — F. l. ἐὰν δὲ μ. κολλ. ο. δ. ἀνήσεις <καὶ> δῷς ἐγχρ. — δώσεις R. — τοὺς ὀφθ. ὑποχ. R, f. mel.

3. θεραπεύσῃς] ἐγχύσεις R. — κωφὸς γέν.] κωφωθήσεται R.

4. ἀλάβητος] espace blanc dans R ; alaniti v. i. Cp. alabeta, poisson de la famille des lamproies, mentionné par Pline, *H. N.* V, 10.

5. ἐνκριθένταις A ; ἐκριθέντες R ; et minuti v. i. Corr. conj.

7. θεωρήσεις πάντα R.

10. καὶ ἀποστρ. παντοίων R. F. l. παντοῖον ἰοβόλον ζῶον τετράπουν, ἑρπετόν, καὶ πάντα ἑρπετὰ ἰοβόλα.

12. Après ἐχθροὺς] καὶ κύνας λυσσῶντας add. R, qui om. ταπεινοῖ. — A mg. : πρὸς κυνοδήκτους λυσιαρίους (?).

15. ἀπὸ] F. l. ὑπὸ.

16. δακτύλιον τοῦτον R. — δὸς πιεῖν τὸ ποτήριν α' καὶ σωθ. R.

19. λειωθεῖσαν R.

20. βαλὼν δὲ] δὲ om. R, f. mel.

21. φαγεῖν] dernier mot du livre Ier dans R. Entre ce livre et le deuxième, ce ms. contient un texte qui fait partie de l'abrégé des *Lithica orphiques,* publié plus loin. Le vieil interprète latin continue comme les mss. A, I.

22. Ὡς A. Corr. conj.

ἅπαντα (f. 63 r.) κατὰ λόγον ἀναλεξάμενος ἐκ τῶν ἀμφοτέρων ὡς ὑποτέτακται, συνέταξα τὸ βιϐλίον μηδενὸς καταφρονήσας λόγου. Νῦν δὲ μετελεύσομαι ἐπὶ τὰς τοῦ Κυρανοῦ ἑτέρας βίϐλους ὅπως καὶ παρ' αὐτῶν ὠφεληθῶμεν.

Ἔλαϐεν τέλος ἡ βίϐλος τοῦ πανσέπτου καὶ παντάρχου : — Τέλος.

1. ὑποτέτακται] ὑπόκειται I, f. mel.
4. Ἔλαϐεν κ. τ. λ.] Souscription de première main. Après παντάρχου, le nom propre manque. F. suppl. Ἑρμείαο. Cp. ci-dessus p. 3, l. 1.

ΚΥΡΑΝΙΣ ΔΕΥΤΕΡΑ

ΠΕΡΙ ΤΩΝ ΤΕΤΡΑΠΟΔΩΝ

ΣΤΟΙΧΕΙΟΝ Α.

ΠΕΡΙ ΘΗΡΙΟΥ ΑΡΚΤΟΥ

1] Ἄρκτος ἐστὶ ζῷον θηρίον, δασύ, νωθρόν, κατὰ πάντα ἐοικὸς τῷ ἀνθρώπῳ καὶ συνετόν, καὶ ὀρθὰ βαδίζειν θέλων.

2] Τούτου ἕκαστον μέλος πεποίηται πρὸς ἕκαστον μέλος τοῦ ἀνθρώπου · ὠφελεῖ οὖν εἰς θεραπείαν · τῆς γὰρ κεφαλῆς τὰ ὀστᾶ περιαπτόμενα <ποιεῖ> (f. 63 v.) πρὸς πᾶσαν κεφαλαλγίαν · ὁ δὲ ἐγκέφαλος αὐτοῦ βρωθεὶς ἐπιληψίαν ἰᾶται · οἱ δὲ ὀφθαλμοὶ φορούμενοι παντοῖον πάθος ὀφθαλμῶν ἀποστρέφουσιν · τῶν δὲ ὤτων αὐτοῦ ὁ ῥύπος σὺν ῥοδίνῳ πᾶσαν ὠταλγίαν ἰᾶται, οἱ δὲ ὀδόντες ὀδονταλγίαν, καὶ περιαφθέντες τοῖς παιδίοις ἀνωδύνως ὀδόντας φύουσιν · οἱ δὲ ὀφθαλμοὶ φορούμενοι χαριτήσιόν εἰσι · καὶ οἱ ὄνυχες τῆς δεξιᾶς χειρὸς φορούμενοι παντοῖον πυρετὸν διώκουσιν · αἱ δὲ τρίχες πνεύματα πονηρὰ καὶ παντοῖον πυρετὸν διώκουσιν, καὶ θυμιώμεναι καὶ φορούμεναι · τὸ δὲ ἧπαρ ξηρόν, λεῖον, ἐπιπασθὲν ἡπατικοὺς ἰᾶται · νεῦρα δὲ ποδῶν καὶ χειρῶν φορούμενα ποδαγροὺς καὶ χειραγροὺς βοηθεῖ · ἡ δὲ κόπρος

1. περὶ τῶν τετραπόδων κυρανὶς δευτέρα A. Interversion conj. Titre dans R : Βίβλος κοιρανὶς Κοιρανοῦ βασιλέως περὶ ζώων χερσαίων δέλτος δευτέρα τοῦ κατ' ἀλφάβητον. — Dans I : Κυρανίδος βιβλίον β' περὶ τῆς τῶν ζώων <τετραπόδων> δυνάμεως.
5. Ἄρκτος τὸ ζ. ἐστι I. — Les articles ἄρκτος, ἀλώπηξ, ἀσπάλαξ, sont placés, dans le v. i., à la fin du livre II, sous le titre de « παραλειπόμενα hujus libri in A. »
7. τῷ ἀνθρώπῳ A. Corr. R.
8. ποιεῖ add. R.
11. αὐτοῦ] αὐτῆς R. — πᾶσαν om. R. — ἰῶνται A. Corr. R.
12. τοῖς παιδίοις ∾ φύουσιν] Réd. de R : καὶ παιδίοις ὀδοντοφυοῦσιν περιαυθέντες (*sic*) ἀνωδύνως φύειν ποιοῦσιν. — φορούμενοι καὶ θυμιώμενοι R.
13. χαριτήσιοι R, f. mel.
14. αἱ δὲ τρίχες ∾ φορούμεναι add. A mg., non v. i.
16. ποδάγραν καὶ χειράγραν R.

αὐτοῦ (f. 64 r.) σὺν ὄξει καταχριομένη ὀξυωπίαν παρέχει· ἡ δὲ καρδία φορουμένη ἐπιχαρῆ καὶ ἐπιτευκτικὸν καὶ φοβερὸν ποιεῖ τὸν φοροῦντα.

3] Τὸ δὲ στέαρ αὐτοῦ μετὰ λαδάνου καὶ ἀδιάντου ἀλειφὲν ἀλωπεκίας δασύνει, ὁμοίως καὶ ὀφρύας καὶ γενείων λιποτριχίας σὺν κηκιδίοις καὶ χαλκάνθῳ καὶ κεδρίᾳ καὶ λύχνου θρυαλλίσι· καθ' ἑαυτὸ δὲ τὸ στέαρ παρωτίδας καὶ ῥαγάδας καὶ χείμετλα ἰᾶται.

4] Αἰδοῖον δὲ ἄρκτου ὑποτιθέμενον τῇ ὑστέρᾳ ὥστε παράψασθαι τοῦ στομίου ὑστερικὰς πνῖγας ἰᾶται· ἔχε δὲ αὐτὸ ἕτοιμον ξηρόν. Ἡ δὲ χολὴ σὺν μέλιτι πινόμενον ὅσον κοχλιάριον α' (f. 64 v.) ἡπατικοὺς ἄκρως ἰᾶται· τὸ δὲ δέρμα αὐτοῦ ἐπιτεθὲν ὅπου ἂν εἰσι ψύλλοι φεύξονται καὶ οὐδ' ὅλως παραμένουσιν.

ΠΕΡΙ ΤΗΣ ΑΛΩΠΕΚΟΣ

5] Ἀλώπηξ πᾶσι γνωστή, δεινότατον καὶ πανουργότατον καὶ σοφὸν ζῷον, ὀρνιθοβόρον καὶ δύσοσμον.

6] Ἐάν τις αὐτὴν ζῶσαν πιάσῃ καὶ ἐμβάλῃ εἰς παλαιότατον ἔλαιον καὶ ἑψήσῃ ἕως τὰ ὀστᾶ μείνωσιν καὶ διηθήσας τὸ ἔλαιον ὡς ἔτι θερμόν ἐστι, καὶ ἀλείψῃ, ἐξ αὐτοῦ ἀρθριτικούς, ποδαλγικούς, ἰσχιαδικούς, παρέτους, ἔχοντας ἔτη πολλὰ τὸ πάθος, θεραπεύσει παραδόξως.

7] Ὅταν μὲν οὖν [δὲ] ἀγρεύσῃς αὐτήν, ὀφείλεις εἰπεῖν αὐτῇ καὶ τὴν αἰτίαν (f. 65 r.) τὸ τίνος ἕνεκα ἠγρεύσας ταύτην.

8] Ὁ δὲ ὄρχις αὐτοῦ ὁ δεξιὸς ξηρός, λεῖος, ἐπιπασθεὶς ἐν πότῳ φιλτροπόσιμός ἐστιν ἐπὶ γυναικῶν, ὁ δὲ εὐώνυμος ἐπὶ ἀνδρῶν.

9] Τὸ δὲ ἄκρον αὐτοῦ περιαφθὲν μεγίστην τάσιν ποιεῖ, ὁμοίως καὶ λεῖον, ἐπιπασθὲν ἐν πότῳ λάθρα.

10] Καὶ οἱ ὄρχεις πινόμενοι ξηροὶ τὸ αὐτὸ δρῶσιν.

11] Δίδου δὲ ὅσον κοχλιαρίου πλῆθος· τοσοῦτον δέ ἐστιν ἀνυτικὸν ὥστε ἀβλαβῆ τὴν ἔντασιν καὶ ἀδιάψευστον τηροῦσι.

1. αὐτοῦ] αὐτῆς R.
2. ἐπιτευτικὸν A, R. Correxi.
3. σὺν λαδάνῳ R, qui om. καὶ ἀδ.
5. λύχνου θρ.] lychnithiri (?) v. i.
8. Verba ἔχε ∾ ἰᾶται om. R.
10. εἰσι] ὦσι R, f. mel. — F. l. παραμενοῦσιν.
11. Signe de renvoi, dans A, à cette note marginale : ἀλεξητήριον εἰς παριεμένους ἐπ' ἀσθενείας μᾶλλον καὶ ναρκώσεις πολυχρονίους.
12. Réd. de R : Ἀλ. ἢ καὶ κερδώ, π. γν. δεινοτάτη τε καὶ πανοῦργος, σοφὸν ζῷον...
14. πιάσῃ] κρατήσει (f. l. πατήσει) R.
15. μείνωσιν] μεῖναι μόνον R. — ἔτι] ὅτι A. Corr. R. — ἐξ αὐτοῦ om. R.
16. ἔχοντας ∾ θεραπεύσει] πολυχρονίους θεραπεύει R.
19. τὸ] F. l. καὶ — αἰτίαν τὴν ὑπέρ τινος ταύτης γωγροίη (?) R.
20. φιλτροπόσιμόν R.
22. τὸ δὲ ἄκρον] f. suppl. τοῦ αἰδοίου vel τῆς οὐρᾶς. Cp. le § 13 et dans la lettre Σ le § 5. — ἔντασιν R, f. mel.
25. πλῆθος om. R, f. mel.
26. τηρεῖν R, f. mel.

12] Τοὺς δὲ δύο ὄρχεις ἐκτεμών, ζῶντα μὲν αὐτὸν ἀπόλυσον, θεραπεύσας δὲ περίαψον. Ἐὰν γὰρ αὐτοῦ τῶν διδύμων θίγῃς, παραυτὰ ἔντιν... Τινὲς δὲ αὐτοὺς βάλλουσιν εἰς τὰ ἰσχία τοῦ τράγου.

13] (f. 65 v.). Ἐὰν δὲ τοῦ αἰδοίου αὐτοῦ τὸ ἄκρον ἐν κύστει ἢ ἐν δέρματι ἐνδήσῃς ἐν ᾧ ἐπιγράψεις τὸ ὄνομα τοῦτο διὰ σμυρνομέλανος ΤΙ'Ν ΒΙ'Β Η'ΛΙΘΙ, καὶ περιάψῃς, ἀβλαβῶς συνουσιάσεις.

14] Τὸ δὲ αἷμα αὐτοῦ νεφρὸν ἀλγοῦντα ἰᾶται, θερμὸν ἐπιχυθέν.

15] Οἱ δὲ νεφροὶ αὐτοῦ ἐσθιόμενοι ἢ πινόμενοι ἀφροδισίας παρορμῶσιν.

16] Τὸ δὲ ἧπαρ αὐτοῦ ξηρόν, λεῖον ἐπιπασθὲν <σὺν> ὀξυμέλιτι καὶ ποθὲν σπληνικοὺς ἄκρως ἰᾶται, καὶ ὁ σπλὴν αὐτοῦ φορούμενος.

17] Τὸ δὲ ἧπαρ αὐτοῦ σὺν οἴνῳ ποθὲν ἀσθματικοὺς ἰᾶται.

18] Ὁ δὲ πνεύμων δύσπνοιαν ὀπτὸς βρωθείς.

19] Τὸ δὲ στέαρ αὐτοῦ ἀλωπεκίας ἄκρως θεραπεύει.

20] (F. 66 r.) Ἡ δὲ κόπρος αὐτοῦ σὺν ῥοδίνῳ ἐν πεσσῷ σύλληψιν ποιεῖ.

21] Ἡ δὲ καρδία φορουμένη ἀβασκάντους ποιεῖ.

22] Ὄδους δὲ ἀλώπεκος περιαφθεὶς ἐσχάρας ὠφελεῖ καὶ παῖδας ἀνωδύνως ὀδοντοφυεῖν < ποιεῖ? >.

23] Μετὰ δὲ ἀσφάλτου καὶ ἐλαίου ὀμφακίνου προλειωθέντων ὀνύχων ἐν ῥοδίνῳ καὶ μιγέντων ἀμφοτέρων, προστεθὲν δὲ ἐν πεσσῷ ὑστερικὰς πνῖγας ἄκρως ἰᾶται.

24] Ὁ δὲ ὄρχις λεῖος σὺν κηρωτῇ παρωτίδας ὠφελεῖ.

25] Ἐὰν δέ τις τὸ μόριον αὐτοῦ ἐνειλήσας ῥάκει περιάψῃ τῇ κεφαλῇ, πάντα πόνον κεφαλῆς καὶ ἡμικράνιον καὶ σκοτώματα ἰᾶται.

26] Ἡ δὲ κόπρος αὐτοῦ μετ' ὄξους λειωμένη λειχῆνας θεραπεύει.

27] (F. 66 v.) Σὺν δὲ στέατι ἡ κόπρος αὐτοῦ λεία ἐπιπασθεῖσα ἀλωπεκίας δασύνει.

1. θεραπεύσας ∾ τοῦ τράγου] Réd. de R : προθεραπεύσας · μετ' αὐτῶν δὲ μὴ δυναμένους συνουσιάζειν προσθίξας, τούτοις μάλιστα (μάλλισθα ms.) ὠφελήσεις · τοῦτο γὰρ πρὸς τοὺς δεδεμένους καὶ μὴ δυναμένους συνουσιάζειν ἐπιτηδὲς φάρμακον. — A mg. : Εἰς τὸ λῦσαι δεδεμένους (δεδεγμένους ms.) καὶ μὴ δυναμένους συγκοιτᾶσθαι γυναιξίν.

2. ἔντιν...] F. l. et suppl. ἔντασιν <ποιεις>; statim assentiet v. i. (Cp. le § 9).

4. τὸ ἄρθρον R.

5. σμυρνομέλανος]. Cp. Leemans, *Papyri graeci Lugd.-Bat.*, t. II, p. 107 : γράψον εἰς αὐτὸν (sc. χάρτην ἱερατικὸν) ζμυρνομέλανι. — Note de Leemans : L. σμυρνίῳ μέλανι. — ἩΛΙΘΙ R ; ♃ *pp g l* XICI *.i. tinbin ilithi* v. i.

6. συνουσιάσει R.

8. ἀφροδίσια R, f. mel.

9. Le ms. R omet tout le § 16. — Cum oxym. v. i.

12. Ὁ δὲ πν. ὀ. βρ. δ. ἰᾶται disponit R, f. mel.

14. σὺν ῥοδίνῳ πινομένη ἢ ἐν π. ληφθεῖσα R.

16. παιδία R, f. mel.

18. ὀνύχων] αὐτῶν τῶν ὀν. R. F. l. αὐτῆς τῶν ὀν.

22. Le ms. R omet les §§ 25 et 26.

ΠΕΡΙ ΑΣΦΑΛΑΚΟΣ

28] Ἀσφάλαξ ἐστὶν ζῶον τυφλὸν ὑποκάτω τῆς γῆς φωλεῦον καὶ βαδίζον. Ἐὰν δὲ ἴδῃ τὸν ἥλιον, οὐκέτι δέχεται αὐτὸν ἡ γῆ, ἀλλὰ τελευτᾷ.

29] Τούτου οὖν ἡ καρδία ἐν ἐλαφείῳ δέρματι περιαπτομένη σεληνιαζομένους ἰᾶται. Ἐν δέρματι δὲ ἔποπος τοῦ ὀρνέου σὺν τοῖς δυσὶν τοῦ ὀρνέου ὀφθαλμοῖς ἐὰν περιάψῃς, εἰς πάντα προγνώσεται ἐφ᾽ ὅσον χρόνον φορεῖ αὐτὸ ἁγνός.

30] Ἐὰν δὲ τὴν καρδίαν φορῇ, ἔνθεν μείζονα καὶ κρείττονα ποιεῖ φοροῦντα · ἡ γὰρ δύναμις τοῦ ζώου τούτου θεία καὶ ἐνεργής, περὶ ἧς εἰπὼν οὐ σιωπήσομαι.

31] (f. 67 r.) Τοῦτό ἐστιν ἀπόγευσις. Ἐὰν γάρ τις ἀπογεύσηται τοῦ ἡλίου ἀνατέλλοντος δάκτυλον α΄, γνώσει τὰ γινόμενα ἕως οὗ δύσει ὁ ἥλιος.

32] Ἔστι δὲ ἡ σκευὴ τῆς ἀπογεύσεως αὕτη · Λαβὼν τὸν ἀσφάλακα ἀπόπνιξον ἐν ὕδατι ὀμβρίῳ κοτύλας γ΄ · ἕψε αὐτὰ ἕως κηρωθῇ · εἶτα διυλίσας τὸ ὕδωρ ἕψεις ἐν χαλκῷ ἀγγείῳ ἐπιβαλών · εἶτα σκεύαζε οὕτως · θεογόνου ῥίζης (ἐν ἄλλῳ γράφε θεόπνου) < ο δ΄, ἀρτεμισίας μονοκλώνου < ο δ΄, στύρακος καλαμίτου, σμύρνης τρωγλοδυτικῆς, βδελλίου ἀνὰ οὐγγ. δ΄ · σφαιρίου <οὐγγ.> δ΄ · λιβάνου ἄρρενος. < ο η΄. Ταῦτα κόψας, (f. 67 v.) σείσας, λειώσας ἐπίβαλλε μέλιτος πρωτείου κοτύλην μίαν, καὶ ἕψει ἕως οὗ γένηται μέλιτος πάχος · καὶ ἀνελόμενος ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ, καὶ χρῶ ὡς εἴρηται.

33] Τὰ δὲ ὀστεὰ τοῦ ἀσφάλακος θάψον ἐν τῷ οἴκῳ σου ἔνδον · Ὁ γὰρ ἀσφάλαξ καὶ ζῶν καὶ θανὼν χρηματίζει, ὥσπερ καὶ αἱ θήλειαι αἶγες.

34] Ἐὰν οὖν τις ἔχων χοιράδας ἢ παρωτίδας ἢ παντοῖον ἀπόστημα, καὶ λάβε ζῶντα τὸν ἀσφάλακα καὶ μάλασσε αὐτὸν ὅλον τοῖς ἰδίαις χερσίν, <καὶ> ὁ κάμνων ἕως οὗ ἀποθάνῃ μαλασσόμενος θεραπευθήσεται πάντως τοῦ τοιούτου πάθους, καὶ οὐκέτι πειρασθήσεται ἢ σταφυλὴν πονήσει ἢ ἀντιάδας ἢ βουβῶνας ἢ χοιράδας ἕξει ποτὲ ἢ παντοῖον ἀπόστημα.

35] (f. 68 r.) Τὸ δὲ στέαρ αὐτοῦ τακὲν ὠταλγίας ἄκρως ἰᾶται.

1. ἀσπαλ. R, partout.
2. ὑπὸ γῆν διαιτώμενον καὶ βαδ. R.
5. Ἐὰν περιάψῃς ∾ ἁγνός] Réd. de R : Περιαφθῆσα (l. περιαφθεῖσα) πρόγνωσιν τῶν μελλόντων τῷ ἁψαμένῳ χαρίζεται ἐφ᾽ ὅσον α. χρ. φ. πλὴν ἁγνὸς ὤν.
7. Ἐὰν δὲ ∾ φοροῦντα] Réd. de R : Ἐὰν δὲ καὶ τούτου ὀρνέου σὺν οἷς εἴρηται εἴη φορῶν, μείζων καὶ κρείττων ἔνθεν γενήσεται.
10. ἀνατέλλοντος] ἀνίσχοντος R. — γνώσεται τ. γιν. μέχρις ἂν δύνει R.
11. σκευὴ] σκευασία R.
13. ἐπιβαλὼν ∾ οὕτως] ἐπιβαλὼν ταῦτα R ; addens haec v. i. — F. l. γράφει, ut infra — ἐν ἄλλῳ δὲ εἴρηται R ; om. v. i.
17. ἕως σχῇ μελ. π. R.
18. χρῶ τοῦτο ὡς εἴρ. R.
19. ἔνδον οἴκου σου R.
21. ἔχει R ; habet v. i. F. l. ἔχῃ. — λαβὼν R.
22. ὁ κάμνων ∾ ἀπόστημα (l. 25). Réd. de R : ὁ μὲν κάμνων θεραπευθήσεται, ὁ δὲ γε ἀσπάλαξ μαλαττόμενος τεθνήξεται · ἐκεῖνος δὲ θεραπευθεὶς οὐκέτι πειρασθ. σταφ. πονήσας αἷς ὁ ἄνθρωπος εἰώθει κάμνειν.

36] Τὸν οὖν ἀσφάλακα θάπτε ἐν τῇ γῇ.

37] Εἴ τις δὲ τὴν καρδίαν αὐτοῦ ἔτι σπαίρουσαν καταπίνει, πρόγνωσιν λάβοι τῶν μελλόντων καὶ τῶν ἐπ' αἰῶνος. (Ἐν ἄλλῳ γράφει τὴν ἐπ' αἰώνων.)

ΠΕΡΙ ΑΙΓΩΝ ΘΗΛΕΙΩΝ

38] Αἶγες θήλειαι πᾶσι γνωσταὶ αἵ τινες καὶ χρηματίζουσιν, ὥστε εἴ τις τὴν δορὰν τῆς αἰγὸς περιθήσει ἐπιληπτικῷ καὶ ὑπαγάγῃ πρὸς ποταμὸν ἢ θάλασσαν, παραχρῆμα ἐλεγχθήσεται πεσὼν ἐν τρόμῳ καὶ νήφων.

39] Αἷμα δὲ αἰγὸς θερμανθὲν ἐν πυρὶ καὶ βρωθὲν δυσεντερικοὺς θεραπεύει καὶ τοὺς τὰ τοξικὰ φάρμακα πίνοντας σώζει ἐνεργῶς, καὶ ὑδρωπικοὺς ἄκρως ἰᾶται.

40] (F. 68 v.) Ἡ δὲ χολὴ σὺν ἀκάπνῳ μέλιτι ἐγχριομένη θεραπεύει ἀχλύν, ἄργεμα, πτερύγια.

41] Ὁ δὲ σπλὴν τῆς αἰγὸς βρωθεὶς ὀπτὸς δυσεντερίαν ἰᾶται.

42] Ἡ δὲ κόπρος <αὐτῆς> λεία σὺν ἀλφίτοις ἐπιπλασθεῖσα τοῖς ἕλκεσι, φαλαγγιοδήκτοις καὶ τοῖς ἀπὸ βουπρήστεως πληγέντας ἰᾶται. Ξηρὰ δὲ ἡ κόπρος προποθεῖσα σὺν οἰνομέλιτι δυσουρίαν ὀνίνησι· σὺν οἴνῳ δὲ παλαιῷ ἑψουμένη καὶ ἐπιτιθεμένη οἰδήματα ἄρθρων καὶ φλεγμονὰς διδύμων καὶ μασθῶν καὶ ἰσχίων ἄκρως ἰᾶται· σὺν μέλιτι δὲ λεία καταπλασθεῖσα τοὺς ὑπὸ ὄφεων καὶ ἰοβόλων ἰᾶται δηχθέντας· πάντα <γὰρ> τὸν ἰὸν ἀναμᾶται.

43] Ὁ δὲ σπλὴν τῆς (f. 69 r.) αἰγὸς ληφθεὶς θερμὸς πρόσφατος εἰς ὄνομα τοῦ πάσχοντος καὶ ἐπιτεθεὶς τῷ σπληνικῷ ἐπάνω τῆς σπληνὸς καὶ φασκιωθεὶς ἡμέραν μίαν, εἶτα <τῇ> ἑξῆς ἐπάρας ὁ κάμνων κρεμάσας αὐτὸν ὑπὲρ καπνὸν ἢ εἰς ἄνεμον πρὸς οὗ ὁ σπλὴν τῆς αἰγὸς ξεραίνηται, καὶ ὁ τοῦ πάσχοντος μειοῦται.

44] Τοῦ δὲ ἐρίφου τὸ δέρμα ποθὲν τοὺς ἀπὸ διψάδων τρωθέντας ἰᾶται.

45] Ἡ δὲ τάμισος αὐτοῦ ὀπτὴ ἐσθιομένη δυσεντερικοὺς θεραπεύει· ἑφθὴ μετὰ κηκίδων καὶ ἐλαίου ἑψουμένη καὶ ἐσθιομένη γαστρορροίαν ἵστησιν.

46] Ὁ δὲ σπλὴν αὐτοῦ ἐσθιόμενος ὀπτὸς συνεχῶς σπληνικοὺς ἰᾶται.

47] Ἡ δὲ δορὰ αὐτοῦ καπνιζομένη ληθαργικοὺς διεγείρει, καὶ τοὺς πίπτοντας ἐπιληπτικοὺς καὶ τὰς ὑστερικὰς (f. 69 v.) πνιγμονάς· καὶ αἱ τρίχες καπνιζόμεναι τὰ αὐτὰ ποιοῦσι κατ' ἐνέργειαν.

1. οὖν] δὲ R.
2. λάβε A; ἕξει R; accipiet v. i. Corr. conj.
7. καὶ νήφων ἐγερθήσεται R. f. mel.
9. πιόντας R, f. mel.
10. ἄργεα A; A mg. et v. i. ἄργεμα; om. R.
13. αὐτῆς addidi. — ἐπιπλασθεῖσα] superaspersum (sc. ἐπιπασθεῖσα) v. i., f. mel.
15. καὶ ἐπιτιθεμένη om. R.
18. γὰρ add. R. (« et » v. i.)
21. τῇ add. R. — κρεμάσει R, f. mel.
22. πρὸς οὗ] ὅσον ἂν R. F. l. ἕως οὗ (πρὸς pour ἕως par confusion tachygraphique ?).
25. ἐλαίων A. Corr. R.
26. ὀπτ. ἐσθ. R, f. mel. — σπληνιτικοὺς A. Corr. R.
28. πνιγομένας A; τοὺς ὑστερικοὺς πνιγμοὺς R. Correxi.
29. ποιοῦσι] δύνανται R.

ΣΤΟΙΧΕΙΟΝ Β.

ΠΕΡΙ ΒΟΟΣ ΘΗΛΕΙΑΣ

1] Βοῦς θήλεια γνωστὴ πᾶσι. Ταύτης τὴν κόπρον λαβὼν ξηρὰν λείωσον καὶ σείσας στῆσον λ. α΄, κηροῦ γο ς΄, κραμβῆς χυλοῦ γο ς΄ (ἢ γ΄ ὡς ἐν ἄλλῳ), ὠὰ ὠμὰ γ΄, ἐλαίου καλοῦ λ. α΄, θείου οὔγγ. α΄ · λείωσον τὰ ξηρὰ καὶ τῆξον τὰ τηκτά. Εἶτα καθελὼν καὶ χλιάνας, βαλὼν τὰ ὠά, καὶ συλλείου καλῶς. Ἐκ τούτου κατάπλασσε · σπληνικούς, ἡπατικούς, ὑδρωπικούς, ὁμοίως ὑδροκοίλους καὶ ποδαλγοὺς παραυτὰ ὠφελήσεις. Τοῦτο κρύβε (f. 70 r.) ὡς μέγα δῶρον.

2] Ἐὰν δὲ τὴν κόπρον λειώσας σὺν ὄξει χρίσῃς τινὰ τόπον ἢ ἀγγεῖον μελιτηρόν, μύρμηκες ἐν αὐτῷ οὐχ ὑπερβήσονται.

3] Ὄνυχες δὲ βοὸς ἐκζεσμένοι μετὰ σινάπεως ἐσθιόμενοι ἀντιτάσσονται πᾶσαν φαρμακείαν ὡς οὐδὲν ἄλλο.

4] Ἡ δὲ χολὴ ἡ βοεία ἰόνθους ῥήγνυσιν καὶ στίλβει πρόσωπον.

5] Ἡ δὲ κόπρος καπνιζομένη ὑπὸ τὸν δίφρον τῆς κυούσης ὠκυτόκιός ἐστιν καὶ τὰ ὑστέρια κατάγει καὶ ἐκβάλλει.

ΠΕΡΙ ΒΑΤΡΑΧΟΥ

6] Βάτραχός ἐστι ζῶον πᾶσι γνωστόν. Τούτου τὴν γλῶσσαν ἐάν τις κόψῃ, αὐτὸν δὲ ἀπολύσῃ ζῶντα, καὶ ἐπιγράψῃ ἐν τῇ γλώσσῃ οὕτως · ΧΟΥΟΧ, (f. 70 v.), καὶ λαθραίως καθευδούσης γυναικὸς ἐπιθήσει τῷ στήθει, εἴπῃ σοι πάντα ὅσα ἔπραξεν ἐν βίῳ.

7] Ἡ δὲ τέφρα αὐτοῦ σὺν πίσσῃ ἐπιχριομένη ἀλωπεκίαν δασύνει · μετ' ὄξους δὲ προστιθεμένη πᾶσαν αἱμορραγίαν ῥινῶν καὶ ἑλκῶν καὶ ἕδρας ἵστησι καὶ φλέβας καὶ ἀρτηρίας καὶ τὰ πυρκαιὰς ἰᾶται.

3. τῆς κόπρου A. Corr. R. — ξηράνας R. — σεῖσον στήσας R.

4 et 5. λ. α΄] Le nom de la mesure est resté en blanc dans R. — 4. ὠμὰ] ἀνέψητα R.

6. βάλε R. — καλῶς] αλι (*sic*) A. F. l. ἅλις — Ἐκ τούτου ∿ ὠφελήσεις]. Le ms. R lit et ponctue ainsi : καὶ ἐκ τούτου κατάπλασσε σπληνικοῖς, ἡπατικοῖς καὶ ὑδρωπικοῖς, ὁμοίως ὑδροκοίλοις καὶ ποδαγρικοῖς, καὶ ὠφ. αὐτοῖς. F. mel.

9. καὶ σὺν ὄξει χρίσεις R.

12. φαρμακείαν] veneno v. i.

13. ἰοάνθους (?) A.

15. ὑστερεία R.

17. αὐτὸν] ἐκεῖνον R. — Après κόψῃ (κόψει A) A mg. add. ἢ ἀνασπάσῃ. — Sur la langue de la grenouille, voir Wessely, *Pariser Zauberpapyrus*, vers 298, et *Neue gr. Zauberpap.*, p. 65.

18. Après ΧΟΥΟΚ] A mg. add. ἐδαμενοφ (*sic*). — ΧΟΥΟΚ ΕΔΑΜΕΝΟΦ R. — On trouve Χουοχ dans Leemans, *Papyri gr. mus. Lugd.-Bat.*, II, p. 143. — Après οὕτως] *XV. Vox. Chuoch, coja* ꟿ *H y o g i . edammoph*, v. i.

19. γυν. καθ. R, f. mel. — F. l. εἴποι.

21. ἀλωπεκίας R, f. mel.

23. πυρίκαυστα R, f. mel.

8] Ἐὰν δέ τις λάβῃ ζῶντα βάτραχον εἰς ὄνομά τινος μήτε ἡλίου μήτε σελήνης φερομένων ὑπὲρ γῆν, καὶ ἀποτέμῃ ψαλίδι τοὺς δύο ὄπισθεν αὐτοῦ πόδας καὶ δήσας ἐλαφείῳ δέρματι, καὶ περιάψῃ ποσί, δεξιὸν δεξιῷ καὶ ἀριστερὸν ἀριστερῷ, ποδαγροὺς θεραπεύει εἰς τὸ παντελές.

9] Ἐὰν δέ τις θέλῃ ἀπορρυῆναι τὰς τρίχας (f. 71 r.) ὅλου τοῦ σώματος, τοῦ βατράχου τὸ δέρμα καύσας βάλε εἰς ὃ λούεται ὕδωρ καὶ ἀπορρυήσονται.

10] Βατράχους δὲ μικροὺς καύσας ἐπίχρισον ἀλωπεκίας, καὶ ἰαθήσονται.

ΣΤΟΙΧΕΙΟΝ Γ.

ΠΕΡΙ ΓΑΛΗΣ

1] Γαλῆ, ζῶον μικρὸν γνώριμον πᾶσι. Ταύτης ἡ γλῶσσα ξηρὰ ὑπὸ τοῖς ὑποδήμασι φορουμένη φιμοκάτοχός ἐστιν.

2] Εἰ δὲ εὕροις ποτὲ γαλῆν ἐρριμμένην νεκράν, ἀνελόμενος ἕψε σὺν ἐλαίῳ ἄχρις ἂν τακῇ καὶ διυλίσας τὸ ἔλαιον ἔμβαλε κηροῦ τὸ ἀρκοῦν, καὶ ποιήσας κηρωτήν, ἔχε <ὡς> μέγιστον ἴαμα πρὸς ἀρθριτικοὺς καὶ πᾶσαν νευρικὴν συμπάθειαν, καὶ φλεγμονὰς ποδῶν καὶ ἄρθρων, (f. 71 v.) καὶ πάντα ῥευματισμόν.

3] Ἰάσει δὲ καὶ χοιράδας μεγάλας καὶ μασθοὺς καὶ ὄρχεις καὶ πᾶν ἀπόστημα εἰς χειρουργίας μελετώμενον καὶ βούβωνας.

4] Οἱ δὲ ὄρχεις αὐτῆς εἰσι καὶ συλληπτικοὶ καὶ ἀσύλληπτοι.

5] Ἐάν τις τὸν δεξιὸν ὄρχιν λειώσας μετὰ μύρου, σὺν ἐρίῳ ἐν πεσσῷ προσθῇ, ὡς εἴρηται, καὶ συνουσιάσῃ, παραχρῆμα συλλήψεται.

6] Ὁ δὲ εὐώνυμος ὄρχις ἐν ἡμιονείῳ δέρματι δεθεὶς καὶ περιαφθεὶς ἀσύλληπτόν ἐστι. Δεῖ δὲ γράφειν ἐν τῷ δέρματι τοῦ ἡμιόνου τὰ ὀνόματα ταῦτα · ΙΩΑ΄, ΩΙΑ΄, ΡΑΥΙΩ΄, ΟΥ΄΄, ΟΙ΄΄ΚΟΟΧΡ. Εἰ δὲ ἀπιστεῖς, δοκίμασον ὄρνιθι τικτούσῃ ᾠά, καὶ οὐ τέξεται.

7] Τοὺς δὲ ὄρχεις αὐτῆς ἀπότεμνε ἐν ἀποκρούσει, (f. 72 r.) αὐτὴν δὲ ζῶσαν ἄφες, τοὺς δὲ ὄρχεις δὸς φορεῖν εἰς ἡμιονίου δέρμα · ἀσύλληπτον γάρ ἐστι καὶ ἀνίκητον, καὶ φίλτρον γλυκύ.

8] Τὸ δὲ αἷμα αὐτῆς φύλαττε σὺν ὄξει καὶ δίδου λάθρα <αἱμοπτοϊκῷ καὶ> ἐπιληπτικῷ, καὶ ἕως δαπανηθῇ, ἰάσει ἄκρως.

2. φαινομένων [τούτων] R. — ψαλιδίῳ R.
3. ἐν ἐλαφείῳ δέρματι R, f. mel. — ἀρ. ἀρ.] λαιῷ λαιὸν R.
6. βάλε ∿ ὕδωρ] εἰς ὃ λύσεται ὕδωρ βαλέτω R.
10. γαλὶς A. Corr. R. — γαλῆ ∿ πᾶσι] γαλῆ ζ. ἐστιν γν. τοῖς πᾶσι R.
14. ὡς addidi. Cp. le § 5 de la lettre E.
16. ἰάσει δὲ οὕτως καὶ R.
19. Ἐὰν γάρ τις R, f. mel. — λειώσας]. Le v. i. a lu λύσας. — ὡς εἴρ. om. R, hab. v. i.
21. ἀσύλληπτός R.
22. Δεῖ δὲ γρ. κ. τ. λ.] Γράψεις... καὶ ταῦτα τὰ ὀνόματα R.
23. ΡΑΙΩ ΟΥΟΙ, ΚΟΟΧΡ R. — δοκίμ · εἰς ζῶον οἷον ὄρνιν τίκτουσαν R.
28. αἱμοπτ. καὶ add. R.

ΣΤΟΙΧΕΙΟΝ Δ.

ΠΕΡΙ ΔΟΡΚΑΔΟΣ

1] Δορκάς ἐστι ζῶον τετράπουν ἔχον δύναμιν εὐσύλληπτον. Ἐὰν οὖν βούλῃς εὐσύλληπτον ποιῆσαι μέγιστον καὶ ἀπαράβατον, ποίει οὕτως · σατυρίου σπέρματος γο δ΄, χολῆς δορκάδος τὸ ὑγρὸν ὅλον, μέλιτος γο γ΄ · λειώσας ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ, ὅταν δὲ χρεία δίδου ἐν κροκύσι (f. 72 v.) ἐξ αὐτῆς <ἐν> πεσσῷ, καὶ συγγενέσθω.

2] Καὶ ἐὰν μὲν ἄρρεν θέλῃς γεννηθῆναι, ἄρρενος χολὴν βάλε · εἰ δὲ θήλειαν, θηλείας · ἔστι γὰρ ἡδονικὸν πάνυ. Ἐὰν δὲ ξηρόν ἐστι, ἐπίβαλε μέλιτος τὸ ἀρκοῦν.

<ΣΤΟΙΧΕΙΟΝ Ε.>

ΠΕΡΙ ΕΧΙΔΝΗΣ

1] Ἔχιδνά ἐστιν ζῶον συρτόν, πᾶσι γνωστόν. Ταύτην τινὲς πιέζουσι, ζῶσαν καὶ ἐμβάλλουσιν εἰς χύτραν καινήν, μεγάλην σὺν ἁλσί, καὶ βάλλουσιν εἰς κάμινον νυχθήμερον ἕως φρυχθῶσιν, καὶ μίξαντες βάλλουσιν ἀρώματα. Ποιοῦσι πρὸς πᾶσαν νόσον ἀνθιστάμενοι ἐλεφαντιῶσιν, λεπροῖς, ποδαγροῖς, ἐπιληπτικοῖς, παραλύτοις, καὶ ὅσα ἀπεγνωμένα πάθη ἀποθεραπεύει τὸ ἅλας.

2] Τῆς ἐχίδνης τὸ στέαρ ὀξυδέρκειαν παρέχει · (f. 73 r.) ἰᾶται δὲ πᾶσαν ἀμβλυωπίαν.

3] Οἱ δὲ ὀφθαλμοὶ περιαπτόμενοι πᾶσαν ὀφθαλμίαν ἰῶνται · οἱ δὲ ὀδόντες, ὀδονταλγίαν, καὶ παίδων ἀνωδίνως φύονται οἱ ὀδόντες.

4] Διώκει δὲ αὐτὴν λίθος γαγάτης θυμιώμενος, καὶ πινόμενος δὲ ταύτης δήγματα ἰᾶται σὺν ἐλαφείῳ μυελῷ.

ΠΕΡΙ ΕΧΙΝΟΥ ΧΕΡΣΑΙΟΥ

5] Ἐχῖνος χερσαῖος ὁ καὶ ἀκανθόχοιρος, ζῶον πονηρὸν πάνυ. Τοῦτον ἀγρεύσας καὶ ταριχεύσας ἔχε ὡς μέγα ἴαμα.

3. καὶ τοῦτο εὐσύλλ. R.
5. μέλιτος λ. ς″ (en signe) R ; § III v. i.
6. ὅταν δὲ χρ. γένηται R.
9. θηλείας] θηλέως A. Corr. R.
12. ταύτης A. Corr. R. — πιέζουσι] ἁλίσκουσιν R.
13. ἐμβάλλουσιν] τιθέασιν R.
14. ἕως φρυχθῶσιν] ἄχρις ἂν φυραθῶσιν R : donec frigatur v. i. — βάλλουσιν] βάνουσιν R. (indice d'un archétype en onciale.) — Ποιοῦσι ∾ τὸ ἅλας] Réd. de R : καὶ πρὸς πᾶσαν ἐξ αὐτοῦ ποιοῦσιν ἀνθισταμένην (lire comme A) ἐλεφαντίασιν, λέπραν, ποδαλγίαν, ἐπιληψίαν καὶ ὅσα ἀπεγνωσμένα πάθη ταῦτα θεραπεύουσιν.
17. Le ms. R omet les §§ 2, 3, 4.
24. ὃ A. — ὁ καὶ ἀκ. λεγόμενος R. — καὶ ταριχ. om. R.

6] Τὴν μέντοι χολὴν αὐτοῦ ῥίψον, κακὴ γάρ ἐστι.

7] Ἡ δὲ κεφαλὴ αὐτοῦ καεῖσα καὶ σὺν μέλιτι ἐπιχρισθεῖσα ἀλωπεκίαν δασύνει.

8] Τοῦ δὲ ταριχευθέντος σώματος <μέρος> δεδομένον ἐν πότῳ ξηρὸν ἐπιληψίαν, τρόμους, σκοτώματα, κεφαλαλγίας καὶ ὅσα ἄλλα τοιαῦτα ἰᾶται, (f. 73 v.) καὶ νεφροὺς καὶ ἰσχιάδας. Δίδου δὲ < ο ᾱ.

9] Τὸ μέντοι δέρμα ἰδίως καὲν καὶ λειωθὲν ἀλωπεκίαν ἰᾶται.

10] Τὸ δὲ ἄλλο σῶμα ὅλον μετὰ τῶν σπλάγχνων ταριχεύσας καὶ ξηράνας χωρὶς τῆς χολῆς καὶ ἐντέρων, ἔπειτα λειώσας καλῶς ἀπόθου · δίδου δὲ πίνειν σὺν ὀξυμέλιτι < ο α΄ ἐλεφαντιῶσιν, ὑδρωπικοῖς τοῖς ἀνασάρκοις.

11] Ὁμοίως δὲ τὸ ἧπαρ καὶ οἱ νεφροὶ καὶ ἡ καρδία καὶ ὁ πνεύμων συνταριχευόμενα τὰ αὐτὰ ἰῶνται.

ΠΕΡΙ ΑΙΛΟΥΡΟΥ, ΗΤΟΙ ΚΑΤΤΑΣ

12] Αἴλουρος ἤτοι κάττα πᾶσι γνωστή. Ἐὰν οὖν σπασθῇ ἐπιληπτικὸς καὶ πέσῃ χαμαὶ ἢ σκοτωματικός, ἢ ἀποπληξία λάβῃ τινά, καὶ κεῖται ὕπτιος ὁ ἄνθρωπος σπαραττόμενος, αἰφνίδιον δὲ ἐπιθήσῃ ἐπ' αὐτὸν κάτταν ζῶσαν, εὐθέως παύεται τοῦ σπασμοῦ ἢ τοῦ (f. 74 r.) σκοτώματος ἢ τῆς ἐπιληψίας. Λέγε δὲ τὸ ὄνομα τοῦτο συνεχῶς · ΚΟΒΕΛΘΩ΄.

13] Ἡ δὲ κόπρος αὐτοῦ μετὰ ἰρίνου μύρου συγχριομένη λεπτοπυρέτια παύει.

14] Ἡ δὲ <σὺν> σινάπει καὶ ὄξει ξηρὰ λειωθεῖσα ἀλωπεκίας δασύνει καλῶς.

ΠΕΡΙ ΕΛΑΦΟΥ

15] Ἐλάφων εἰσὶν εἴδη τρία · γνώριμον δὲ τὸ ζῶον. Ὁ μὲν καλεῖται πλάτωνις, διὰ τὸ ἔχειν κέρατα πλατέα, ὑψηλά · ὁ δὲ δεύτερος στρογγύλα κέρατα ἔχων · καὶ τρίτον ἡ θήλεια κεράτων ἄνευ. Ταύτῃ οὐ δύναται ὁ ἄρσην μιγῆναι εἰ μὴ παρὰ

1. μέντοι] δὲ R. — κακὴ] ἐναντία R.
2. καυθεῖσα R. — ἀλωπεκίας hic et infra R, f. mel.
3. σώματος μέρος διδόμενος R. μέρος addidi cum R. — ἐπιληψίας R.
4. ἄλλα om. R. — ἰᾶται] θεραπεύει (placé après ἰσχιάδας) R.
8. καλῶς om. R. — καὶ δίδου ὅτε ἐστὶν χρεία πίνειν σὺν ὀξ. ἐξ αὐτοῦ R.
9. ἀνὰ σάρκα R.
10. συνταριχεύοντες R.
11. δρῶσιν καὶ ἰῶνται R.
12. Αἰλούρου] Ἐλούρου A, R. Cette forme explique le placement de l'αἴλουρος dans la lettre E. — ἤτοι κάττας om. R.
13. Ἐὰν δέ τις σπ. R.
15. σπαραπτώμενος A. Corr. R.
16. ἐπιληψίας] ἀποπληξίας R.
17. τοῦτο τὸ ὄνομα · ΚΩΒΕΛΘΕ R.
19. δασύνει καλῶς] ἄγαν δασ. R.
20. A mg. : Διὰ τοῦτο ἔλαφος ὀνομάζεται διὰ τὸ ἑλεῖν τοὺς ὄφεις ἐκ βάθους τῆς γῆς.
21. Réd. de R : Ἐλάφων γένη εἰσὶν τρία... ὧν τὸ μὲν καλεῖται πλάτωνις διὰ τὸ ἔχειν τοῦτον κέρατα πλατέα, ὑψηλά, τὸ δὲ ἄλλο τῷ ἔχειν στρογγύλα κέρατα · καὶ ἡ τρίτη ἐστὶν θήλεια κερ. χωρίς.
23. εἰ μὴ παρὰ πηγήν.] ἂν μὴ παρὰ πηγὴν παραγίνηται. R.

πηγήν. Ὅταν γὰρ διψᾷ, ζητεῖ πηγήν, καὶ ὡς πίνει τῇ δίψῃ φλεγομένη, τότε ὁ ἄρσην ἐπιβαίνει αὐτήν · ἀναγκαζομένη γὰρ ἐκ τῆς δίψης καὶ τοῦ ποτοῦ ὀρεγομένη οὐ δύναται φυγεῖν. Ἐν ἄλλῳ δὲ καιρῷ οὐ καταδέχεται βιβασθῆναι · εὐθέως (f. 74 v.) οὖν συλλαμβάνει.

16] Τοῦτο <δὲ> τὸ ζῶον ζῇ ἔτη φ', ἐὰν οὖν μὴ ἀγρευθῇ, καὶ οὕτως ἰδίῳ θανάτῳ τελευτᾷ.

17] Τοῦ οὖν ἀληθινοῦ ἐλάφου τοῦ ἔχοντος τὰ κέρατα στρογγύλα ῥινίσματα ἐκ τῶν κεράτων κοχλιάριον α' δίδου <σὺν> ὑδρομέλιτι ἐπὶ ἡμέρας γ' κωλικῷ καὶ τελείως τοῦ πάθους ἀπαλλαγήσεται.

18] Ἡ δὲ χολὴ σὺν μέλιτι πινομένη σύλληψιν ποιεῖ.

ΣΤΟΙΧΕΙΟΝ Ζ.

ΠΕΡΙ ΖΑΥΡΑΣ

1] Ζαυρῶν γένη τρία · ἡ μὲν ἡλιακὴ λέγεται, ἡ δὲ χαλκῆ, ἡ δὲ χλωρά.

2] Ἡ δὲ ἡλιακὴ γνωστὴ πᾶσιν · ταύτης τὴν δεξιὰν χεῖρα ἐὰν φορῇ τις περὶ τὸν ἀριστερὸν βραχίονα ἐν χρυσῷ σωληναρίῳ ἔχοντι γεγραμμένον τὸ ὄνομα τοῦτο · ΕΒΛΟΥΣΑΥΡΕ, ἐκφεύξεται (f. 75 r.) πᾶσαν χαλεπὴν νόσον, καὶ οὐ μήποτε πειρασθῇ ἀρρωστίας ὅσον ζῇ χρόνον καὶ φέρει.

3] Οἱ δὲ ὀφθαλμοὶ αὐτῆς ἀφαιρεθέντες ζώσης εἰς ὄνομα τοῦ πάσχοντος πᾶσαν ὀφθαλμίαν ἰῶνται · ἀπολύεται δὲ ἡ ζαύρα ζῶσα.

4] Ἐὰν δὲ μιγνυμένας δύο ἀρσενόθηλυ ἀγρεύσας, καὶ κόψῃς τὸ μόριον, καὶ ξηράνας καὶ ποτίσας γυναικί, γίνεται φιλία ἄλυτος.

5] Καὶ ὅταν βιβάζωσιν, ἐὰν ῥίψῃς ἐπάνω ὀράριον ἢ ῥάκος, ἔστιν χαριτήσιον μέγα εἰ δὲ φορουμένη, ἔντασιν ποιεῖ.

6] Τὸ δὲ ἧπαρ αὐτῆς ἥλους ἰᾶται καταπλασσόμενον.

7] Ἡ δὲ χολὴ αὐτῆς ἐν οἴνῳ σαπεῖσα ἐπὶ ἡμέρας μα' τοῖς ὑπὸ κύνα καύμασι καὶ

1. Réd. de R : ζητεῖ π. ἡ ἔλαφος αὕτη καὶ παρ' αὐτῆς (f. l. παρ' αὐτὰ) κύπτουσα πίνει ἤ τις καὶ τοῦ δίψει (l. διψῆν) φλεγ. ἀνάγκῃ, λοιπὸν δέχεται καὶ τὸν ἄρρενα ἐπιβάντα, καὶ οὕτως ὀχεύουσιν, ἤτοι ὀχεύεται παρ' αὐτοῦ · τῇ δίψῃ γὰρ ἀναγκαζομένη καὶ τὸ (l. τῷ) πίνειν εὐφραινομένη καὶ στέγουσα καρτερεῖ τὴν ὀχείαν. Ἐν ἄλλῳ δὲ κ. τ. λ.
3. εὐθὺς τοίνυν τοῦ ὀχευθῆναι καὶ συλλ. R.
5. δὲ add. R.
7. στρογγύλα ἐξ αὐτῶν τῶν κερ. ῥίνισμα R.
8. μετὰ ὑδρομέλιτος R. — γ'] septem v. i. ; om. R.
10. ποιεῖ] ἐργάζεται R.
12. ζαύρα pour σαύρα (cp. p. 61, l. 8).
13. ζαυρῶν] ζαύρας R.
14. δὲ] οὖν R. — τὴν] τῆς A ; δὲ R. correxi. — εἰς τὸν λαιὸν βρ. R.
15. σωλῆνι R. — ἔχοντα A. Corr. v. i.
16. ΕΥ' ΒΛΟΥΣΑΥΡΕ R (f. l. ΑΒΛ...) ; ha. na. ba. ga. b. i. aulusaure v. i. — F. l. πειρασθήσεται.
19. ἀπολυέσθω δὲ καὶ ἡ ζ. R, f. mel.
20. μιγνυμένας] ὀχευομένας R.
22. βιβάζωνται R, f. mel. — οὐράριον R ; corium v. i. (ὀράριον, du latin orarium, mouchoir).
25. ἐν] σὺν R. — μα'] γ' R ; septem v. i. — καὶ om. R, f. mel.

τρίχας θραύει τὰς ἐν βλεφάροις · ἡ ἡλιακὴ σαύρα τὰ ἴσα δύναται τῇ χλωρᾷ.

8] (F. 75 v.) Ἐὰν οὖν ποιήσας περόνας β′, καὶ μετ' αὐτῶν τυφλώσῃς τὴν ζαύραν, καὶ βάλῃς εἰς χύτραν ἔχουσαν καὶ γῆν παρθένον, εἶτα ἐάσῃς ἐπὶ ἡμέρας θ′ · καὶ μετὰ ταῦτα ἀνοίξας τὴν χύτραν εὑρήσεις βλέπουσαν τὴν ζαύραν.

9] Ταύτην μὲν ἀπόλυε ζῶσαν, τὰς δὲ περόνας ποίει δακτυλίους καὶ φόρει, ἐν μὲν τῇ δεξιᾷ τὴν τὸν δεξιὸν ὀφθαλμὸν ἐκβάλλουσαν, ἐν δὲ τῇ εὐωνύμῳ τὸν εὐώνυμον, κατακλείσας καὶ ἐν αὐτοῖς λίθον ἴασπιν ἔχοντα γλυφὴν σαύραν ἐπὶ κοιλίαν ἡπλωμένην καὶ γραφόμενον ΠΕΙΡΑΝ, ὑποκάτωθεν τὸ ὄνομα τοῦτο · ΧΟΥΘΕΣΟΥΛΕ καὶ φόρει · ἀβλαβὴς γὰρ ἔσῃ ὀφθαλμοῖς πάντα τὰ ἔτη σου, καὶ ὀφθαλμιῶντας δὲ ἰάσῃ τῷ δακτυλίῳ περιάπτων.

ΣΤΟΙΧΕΙΟΝ Η.

ΠΕΡΙ ΗΜΙΟΝΟΥ ΗΤΟΙ ΒΟΥΡΔΟΝΟΣ

1] (F. 76 r.) Τῆς οὖν μούλας ὁ ῥύπος ὁ ἐν τῷ ὠτίῳ ἀσύλληπτον ἄκρως ἐστίν, ἐν δέρματι αὐτῆς περιαφθείς. Ἐὰν δὲ τὸν ῥύπον δῷς λάθρα ἐν πότῳ γυναικί, οὐ συλλήψεταί ποτε.

2] Οὕτως δὲ καὶ ἐὰν ἐκ τῆς μήτρας αὐτῆς συνεψήσας μεθ' ἑτέρων κρεῶν δώῃς λάθρα φαγεῖν, οὐδέποτε συλλήψεται.

3] Εἰ δέ τις ἔχων ψυγμοκατάρρουν, καὶ φιλήσει βούρδονος τὰς ῥίνας, ἰαθήσεται · εἰ καὶ κόρυζαν ἕξει.

4] Ἐὰν δέ τις λάθρα λάβῃ τὸ οὖρον τοῦ βούρδονος, καὶ συνεψήσῃ κηρῷ καὶ ἐλαίῳ καὶ λιθαργύρῳ, καὶ καταπλάσσῃ ποδαγρῷ, ὁ μὲν ἄνθρωπος ὑγιαίνει, ὁ δὲ βούρδων ποδαγριᾷ · ἐπὶ δὲ γυναικός, μούλας.

1. ὡσαύτως ἡ ἡλ. σαύρα R.
3. οὖν] δὲ R. — περόνας β′ · μετὰ ταῦτα τυφλώσας μετὰ τούτων τ. ζ. βάλε R.
5. εὑρήσεις τὴν ζ. ἣν ἐπετυφλώσας βλέπουσαν R.
7. ἐν δὲ τῇ λαιᾷ τὴν τὸν εὐώνυμον R.
8. ἴασπιν λ. R, f. mel. — ζαύραν R, f. mel.
9. Réd. de R : καὶ γεγραμμένον πεῖρα τοὔνομα τούτου ὑπ. ΚΟΥΘΟΥ ΣΕΛΕ. — Réd. du v. i. : et inscriptum *Zibem Q. a. y. i. pyram* : desubtus autem sit nomen hoc : *Kaka*, *Fas*. id est *cacafas*, et porta. in alio erat sic : *Kor. dff. e o. c. a. b.*
10. δὲ om. R, f. mel. — F. l. ὀφθαλμούς. — ἐξ ὀφθαλμῶν ἐναντίων πάντων τὰ ἔτι (l. ἔτη) σου R.
11. περιάπτων] παραψαύων R. — Haec addit R (correctis corrigendis) : Κεκαυμένη δὲ ὅλη καὶ μετὰ σκορόδου ἑνωθεῖσα καὶ συντριβεῖσα σιδερᾶ βέλη καὶ ἀκίδας καὶ ὅσα <τοιαῦτα> ἐκ βάθους φέρει εἰς τὴν ἄνω ἐπιφάνειαν ὡς οὐκ ἄλλο τι, καὶ τριχοποιεῖ αὕτη
12. Στοιχεῖον Η om. R.
13. ἤτοι βούρδονος om. R.
14. Réd. de R : Τῆς ἡμιόνου ὁ ἐν ὠσὶν ῥύπος ἀσύλληπτός ἐστιν ἄκρως. — A mg. : πρὸς (?) ὅταν κλαίῃ τὸ βρέφος, ὄνου ὄνυχας ἂς φορῇ, καὶ οὐ κλαίει.
19. ἔχει R. — βούρδονος] ἡμιόνου R. Item l. 22.
22. ποδαλγικοὺς (l. ποδαλγικοῖς) καταπλ. R. — ἄνθρωπος] ἀσθενῶν R.
23. γυναικῶν R.

ΣΤΟΙΧΕΙΟΝ Θ.

ΠΕΡΙ ΘΗΡΑΦΟΥ

1] Θήραφος ἢ φαλάγγιον ἢ ἀράχνιον, ζωύφιον (f. 76 v.) μικρὸν ἐξάπουν ἀράχνας εἰς τοῖχον ὑφαῖνον, γνώριμον πᾶσιν, ὃς λέγεται θήραφος. Οὗτος ληφθεὶς εἰς ὄνομα τοῦ πάσχοντος, καὶ ἐν κηρῷ ἀποσυμμαλαχθείς, καὶ ἐπιπλασθεὶς μετώπῳ, τριταῖον ῥιγοπύρετον ἀπελαύνει.

2] Ἐὰν δὲ αὐτὸν ζῶντα βάλῃς ἐν σύριγγι ἢ καλάμῳ καὶ περιάψῃς τραχήλῳ, ἀμφημερινὸν ἰᾶται.

3] Ἐν ὀλίγῳ δὲ ῥοδίνῳ ἢ ναρδίνῳ συνεψηθεὶς ὠταλγίαν ἰᾶται καὶ ῥαγάδας τὰς ἐν ποσίν.

4] Ἡ δὲ ἀράχνη αὐτοῦ αἱμορραγίαν φλεβὸς ἵστησι.

5] Θήραφος δὲ ὁ ἐν τοῖς δένδροις ἀραχνοποιῶν μέλας καὶ μείζων τοῦ λευκοῦ λαμβανόμενος εἰς τὸ ὄνομα τοῦ πάσχοντος καὶ περιαπτόμενος χοιράδας ἀρχομένας ἰᾶται.

6] Ὁ δὲ λευκὸς ἀράχνιος σὺν τῷ ζώῳ καλάμῳ (f. 77 r.) βληθεὶς ὀφθαλμίας παύει καὶ ῥεύματα στέλλει, καὶ οἷα περὶ τὸν λαιμὸν συμβαίνει.

7] Ἐὰν δέ τις ἐν ὕδατι ἑψήσει τὸν θήραφον, ἔπειτα δὲ τὸ ὕδωρ χρίσῃ κεφαλὴν ἀγρυπνοῦντος, ὑπνώσει.

8] Εἰς δὲ τὸ ὕφος τοῦ λευκοῦ εἰ ϐάλλεις χόνδρον ἅλατος ἐνθεὶς τῷ τρημένῳ ὀδόντι, ἰάσῃ.

ΣΤΟΙΧΕΙΟΝ Ι.

ΠΕΡΙ ΙΠΠΟΥ

1] Ἵππος, ζῶον βασιλικόν, ὀξύ, γνώριμον πᾶσι. Τούτου γεννηθέντος εὐθὺς λαϐὼν τὸ ἐν τῷ μετώπῳ νεφέλιον [λιον] ὅπερ οἱ ἱππονόμοι ἱππομανὲς λέγουσιν, ἕξεις

3. Après ἀράχνιον] Réd. de R : ἔστιν δὲ ζ. ἱστοὺς ἐν τοίχοις ὑφ. καὶ γν. δὲ τοῖς πᾶσιν, ὃς καλ. θήραφος.
5. μαλαχθεὶς καὶ τῷ μετ. ἐπιπλ. R.
8. ἀφημερινὸν A ; αὐθημερινὸν R ; ἐφημερινὸν v. i.
9. ναρδίνῳ] ναρκίσῳ R.
11. Ἡ δὲ ἀρ. ἢ ὁ ἱστὸς R.
13. ἀρχομένας om. R.
14. Ὁ δὲ λ. ἀ.] Ὁ δὲ τοῦ λευκοῦ ἱστὸς R, f. mel. — κληθεὶς A ; βλοισθεὶς R ; missus v. i. Correxi. (κληθεὶς pour βληθείς, indice d'un ms. original en minuscule du xe ou xie siècle.)
15. ὅσα τῷ λαιμῷ συμϐ. R, f. mel.
16. ἔπειτα τῷ ὕδατι τούτῳ R, f. mel.
17. ὑπνώσει] ὕπνον αὐτῷ ἐμποιήσει R. — A mg. (avec renvoi par un astérisque à la fin du § 8) : Τὸν δὲ θήραφον (ους au-dessus de τὸν et de φον) συνθλάσας μετὰ ἐλαίου καὶ ἐπιθεὶς εἰς ἄγρυπνον (?) εἰσπνοῦντα, πληγὴν ἄρρωστον πᾶσαν ἰάσῃ (ἴασι ms.) παραδόξως.
18. εἰσϐάλλεις A. Corr. R. — τριμμένῳ A ; τετριμμένῳ R. Corr. v. i. (perforato).
22. Ἵππος ἐστὶν ζ. ϐ. R. — Τούτου οὖν γ. εὐθ. προσέξον ἵνα ἐπάρεις (l. ἐπάρῃς) τὸ ἐν τ. μετ. ν.
23. λιον (*sic*) om. R ; vel lapidem (sc. λίθον) v. i. — ἕξεις γὰρ R.

φορῶν φιλητήσιον μέγιστον · εἰ γὰρ μόνον περιάψεις τινὶ μετ' αὐτοῦ, σφόδρα σε ἀγαπήσει · καὶ <ἐὰν> ἐν ποτῷ ἐμβάψῃς αὐτὸ καὶ δῴης τινὶ πιεῖν, τὸ αὐτὸ δράσεις. Κἂν ἐν βρωτῷ, φιληθήσῃ γὰρ πάντως.

2] Ἡ δὲ χολὴ τοῦ ἵππου καταγλυκαινομένη (f. 77 v.) ἐν μολιβῷ ἀγγείῳ ἰσχυρὰς πράξεις ἀποτελεῖ διδομένη ἐν οἴνῳ ἀνθρώπῳ, καὶ ἀνάπαυσιν ἀποτελεῖ.

3] Τῆς δὲ φοράδος γάλα ἐγχριόμενον μετὰ μέλιτος λευκώματα λεπτύνει.

4] Ὄνυξ δὲ αὐτῆς θυμιώμενος νεκρὰ ἔμβρυα ἐκβάλλει, καὶ ὑποκαπνιζόμενος ὠκυτόκιός ἐστιν.

5] Ἡ δὲ χολὴ σὺν μέλιτι χριομένη ὀξυωπίαν παρέχει.

ΣΤΟΙΧΕΙΟΝ Κ.

ΠΕΡΙ ΚΑΜΗΛΟΥ

1] Κάμηλος, ζῷον γνώριμον πᾶσι.

2] Τῆς οὖν θηλείας τὸ γάλα οὐ πήγνυται.

3] Χολὴ δὲ καμήλου παγεῖσα ἐν μολιβῷ ἀγγείῳ ἕως οὗ γλυκανθῇ αὐθήμερον κοσμεῖ ἐν βρώματι καὶ χαριτοῖ.

4] Ἄφοδος δὲ αὐτοῦ καεῖσα καὶ σὺν ἐλαίῳ τριβεῖσα ἀλωπεκίας καὶ τριχορροίας τὰς ἀπὸ νόσου ἄκρως ἰᾶται.

5] Καταπλασσομένη ὡς εἴρηται ὑδρωπικοὺς (f. 78 r.) κενοῖ δι' οὔρων.

6] Ξηρὰ δὲ <καὶ> λεία ἐπιπασθεῖσα ἐν ὕδατι καὶ ποθεῖσα δυσεντερικοὺς ἰᾶται.

7] Θυμιωμένη δὲ τὰ ἐναντία διώκει.

8] Ὁ δὲ μυελὸς αὐτοῦ σὺν ῥοδίνῳ ἀλειφόμενος τὴν κεφαλὴν ἔμπροσθεν καὶ ὅλον τὸ σῶμα ἐπιληψίαν ἰᾶται παραδόξως καὶ ὑπὲρ λόγον.

ΠΕΡΙ ΚΥΝΟΥ ΜΙΚΡΟΥ

9] Κύων ἐστὶν ὁ παρ' ἡμῶν · μικρὸς δὲ καὶ νεογέννητος ὢν ἔτι ζαλάθων, ἐὰν συνευνᾶται ἀρρώστῳ διηνεκῶς πολὺν χρόνον ἔχοντι ἐν τῇ ἀρρωστίᾳ καὶ συνκοιτάζῃ

1. περιάψεις] προσπελάσεις R. — Réd. de R : σφόδρα ἀγαπηθήσῃ αὐτῷ · εἰ δὲ καὶ ἐν π. δώῃς τινὶ τοῦτο ἐμβάψας, τ. α. δρ.
4. καταχλειομένη R, f. mel.; dulcoratum v. i.
5. διδ. ∾ ἀποτελεῖ om. R.
6. λεπτύνει] λεαίνει R.
7. Le ms. R intervertit nos §§ 4 et 5. — αὐτοῦ R. — καὶ] ἀλλὰ καὶ R.
11. κάμηλας (*sic*) R.
15. χαριτεῖ A ; χαριτιεῖ (?) R.
17. ἄκρως] ἀκριβῶς R.
18. ἐπιπλασσομένη R.
21. τῇ κεφαλῇ A. Corr. R.
23. κυνοῦ (néo-grec) A ; κυοῦ R.
24. Réd. de R : Κύων ὁ (l. ὅς) παρ' ἡ. κυνάριον λέγεται μικρὸν νεογ. ὃ ἔτι θηλάζων... — ὢν] ὃν A, Correxi. — ἐὰν συνευν.] ἂν συνευνάσει (l. συνευνάσῃ) R.
25. ἔχοντα A. Corr. R. — συγκοιτάζῃ ∾ ἀπαλλαγήσεται] Réd. de R : συγκ. α. ἐπὶ τοῦ στήθους διόλου κείμενον ἐπ' αὐτῷ ἐν τῇ κλ., τὸ μὲν κυνάριον τεθνήξεται · ὁ δὲ ἀσθενῶν τῆς χρονίας νόσου ἀπαλλαγήσεται.

αὐτῷ ἐπὶ τὸ στῆθος ἢ γυναικὸς ἢ ἀνδρὸς ἢ παιδίου, καὶ διόλου συνανάκειται αὐτῷ ἐν τῇ κλίνῃ, ὁ μὲν κύων ἀποθνήσκει · ὁ δὲ ἄρρωστος τῆς χρονίας νόσου ἀπαλλαγήσεται.

10] Σπλῆνα δὲ κυνὸς θερμὸν ἐπιθεὶς (f. 78 v.) σπληνικῷ ἐν τῷ σπληνί, ἰαθήσεται.

11] Ἡ δὲ κόπρος ξηρὰ λεία ἐν ποτῷ δοθεῖσα ἰκτερικοὺς καὶ δυσεντερικοὺς θεραπεύει.

12] Μετὰ μέλιτος δὲ ἐγχριομένη τῷ λαιμῷ καὶ τῷ στόματι συναγχικοὺς ἄκρως ἶαται · λαθραίως δὲ ποίει πάντα μὴ ὁμολογῶν τῷ πάσχοντι.

13] Πινομένη δὲ ὑδρωπικοὺς ἄκρως ἶαται.

14] Λεία δὲ κόπρος συγχριομένη σὺν ὄξει ὑδροκοίλους καὶ φλεγμονὰς μορίων ἶαται.

15] Καεῖσα δὲ εἰς ὄστρακον καὶ λειωθεῖσα σὺν ῥοδίνῳ ῥαγάδας τὰς ἐν ἕδρᾳ ἶαται, καὶ θύμους καὶ ἐξοχάδας ἐκριζοῖ.

16] Σὺν τερεβινθίνῃ δὲ ἐπιτεθεῖσα κονδυλώματα καὶ ἐξοχάδας ἶαται.

17] Μετὰ δὲ ῥοδίνου [εἰς] ἕλκη ῥυπαρὰ καὶ δυσεπούλωτα, μάλιστα σὺν κηρωτῇ ῥοδίνῃ · σὺν ἐλαίῳ δὲ πρὸς μελισσῶν καὶ σφηκῶν κρούσματα.

18] (F. 79 r.) Ἐὰν δὲ τὴν καρδίαν κυνός τις κρατῇ ἐν εὐωνύμῳ χειρί, ἢ τὴν γλῶτταν εἱλιγμένην ἐν ῥακίῳ, πάντες κύνες φιμωθήσονται καὶ φεύξονται.

19] Γλαυκοῦ δὲ κυνὸς ἀμφοτέρους τοὺς ὀφθαλμοὺς μετὰ μάγνητος λίθου καὶ ὀψιανοῦ λίθου ποίησον τὴν στιμίαν ὡς ξηροκολλούριον, καὶ ὀψὲ στιβισάμενος, ὄψει τὰ ἐν τῷ σκότει γινόμενα.

20] Ἐὰν δὲ ἀρρωστῇ τις, μετὰ ζύμης μικρᾶς ἐκμάσσε τὸ πρόσωπον καὶ τὰς μάλας, καὶ βουβῶνας καὶ πόδας καὶ χεῖρας, καὶ δώσεις κυνὶ φαγεῖν. Ἐὰν φάγῃ ὁ κύων, ζήσεται <ὁ νοσῶν> · εἰ δὲ μὴ φάγῃ, θανεῖται · ἡ δὲ ζυμὴ ἔστω θερμή.

ΠΕΡΙ ΚΥΝΟΠΟΤΑΜΟΥ ΗΤΟΙ ΚΑΣΤΟΡΟΣ

21] Κυνοπόταμος ὁ καὶ κάστωρ <γνωστός>. Τούτου οἱ δίδυμοί εἰσιν ὠφέ-

4. Réd. de R: Καὶ σπλῆνα κυνὸς ζέουσαν (*sic*) ἐπὶ σπληνὸς πάσχοντος ἐπιτεθεῖσαν ὄψει (l. ὄψῃ) τῷ πάσχοντι ὑγιὲς χαριζομένην.
7. στόματι] σώματι A, R; corpori v. i. Corr. conj.
8. λάθρα δὲ ταῦτα πάντα ποίει R, f. mel. — πάσχοντι] κάμνοντι R.
10. ὑδροκίλους A; A mg. ὑδροκοίλ; ὑδρωπικοὺς ἄκρως ἶαται καὶ φλ. R. F. l. ὑδροκήλας. — Le v. i. om. le § 14.
15. εἰς om. R f. mel., nisi suppl. ποιεῖ.
18. πάντας τοὺς κύνας οὓς βλέπει φιμώσει καὶ φυγῇ ἀποπέμψει R.
19. γλαυκοῦ] λευκοῦ R.
20. στιβησάμενος A; στιλβωσάμενος R. Corr. conj.
22. ἔκμαζε A; ἔκμαξον R. Corr. conj.
23. μάλας] μασχάλας R.
24. ὁ νοσῶν add. R et vertit v. i. — Εἰ δὲ οὐδὲν θέλει φαγεῖν, θαν. R.
26. τούτου ∾ πινόμενον] οὗτοι γὰρ λεῖοι καὶ ἐν πεσῷ προστιθέντες ἔμμηνα ἄγουσι · πινόμενοι... R. Réd. du v. i. Κύων ποτάμιος seu canis fluvialis, qui et castor dicitur; hujus testiculi sunt qui dicuntur castoreum. Castoreum ergo tritum, etc. — F. suppl. τούτου <καστόριον> λεῖον.

λιμοι · τούτου οὖν λεῖον ἐν πεσσῷ προστεθὲν ἔμμηνα ἄγει · πινόμενον δὲ (f. 79 v.) σὺν ῥύπῳ μούλας ἀπὸ τοῦ ὠτίου ἀτόκιόν ἐστιν · ἀλειφὲν δὲ νεῦρα χαλᾷ καὶ ψῦξιν ὠφελεῖ · σὺν οἴνῳ δὲ χριόμενον τὰς ὑστερικὰς πνῖγας ὀνίνησι · σὺν δὲ πηγανίνῳ ἐλαίῳ ἐνιέμενον κωλικοὺς ἰᾶται · πινόμενον δὲ στομαχικοὺς ἄκρως ἰᾶται.

22] Τὸ δὲ δέρμα αὐτοῦ φορούμενον εἰς ὑπόδημα ποδαγροὺς ἰᾶται.

. . . .

ΠΕΡΙ ΚΡΟΚΟΔΕΙΛΟΥ

23] Κροκόδειλος χερσαῖος πᾶσι γνωστόν ἐστι ζῷον τετράπουν, πλατυκέφαλον, μακρόουρον.

24] Τούτου τὴν δορὰν ἐάν τις καύσῃ καὶ λειώσας ποτίσῃ ξήριον, ἐπιπάσσῃ δὲ τῷ μέλλοντι καίεσθαι τόπῳ ἢ τέμνεσθαι, ἀνώδυνον αὐτὸν ποιήσει.

25] Τὸ δὲ ἀποτηγάνισμα τοῦ κροκοδείλου ἐὰν ἀλείψηταί τις, ὅσας πληγὰς ἂν λάβῃ οὐ μὴ αἰσθήσεται.

26] Οἱ δὲ δεξιοὶ αὐτοῦ (f. 80 r.) ὀδόντες ἀφαιρεθέντες, ζῶντος αὐτοῦ ἀφιεμένου, καὶ περιαφθέντες ἔντασιν μεγίστην τοῖς ἀνδράσι ποιοῦσιν, οἱ δὲ εὐώνυμοι ταῖς γυναιξίν.

27] Εἰ περιαφθῶσιν <ἢ> συναφθῶσιν ἀμφότεροι, ποιήσουσι τὰ ἀνήκοντα.

28] Ἡ δὲ κόπρος σὺν ἐλαίῳ χριομένη πρόσωπον στίλβον ποιεῖ · μέλιτι δὲ μιγεῖσα καὶ χριομένη λευκώματα ἀφαιρεῖ.

29] Τὸ δὲ αἷμα αὐτοῦ καταχριόμενον ἀμβλυωπίαν θεραπεύει καὶ ἐξιᾶται.

ΣΤΟΙΧΕΙΟΝ Λ.

ΠΕΡΙ ΛΥΚΟΥ

1] Λύκος ἐστὶ ζῷον ἄγριον, πονηρόν.

2] Τὸ οὖν αἷμα αὐτοῦ ὁ πίνων μανήσεται καὶ οὐκέτι σωθήσεται.

3] Ὁ δὲ ὀφθαλμὸς λάθρα αὐτοῦ ὁ δεξιὸς φορούμενος ἔνδοθεν λάθρα μεγίστας

2. ἀπὸ τοῦ om. R, f. mel. — ἀλειφόμενον δὲ νεῦρον R. — ψῆξιν A. Corr. R. Siccitatem vel ariditatem v. i.

4. κωλιτικοὺς A. Corr. R.

5. φορ.] ἐν ποσὶν φορ. R. — ἰᾶται om. R, f. mel.

6. Addition du v. i. : Castoreum esum, si detur ξ ι, quartanarios sanat.

10. Réd. de R :.... Ἐὰν καύσας καὶ ποιήσῃς ἐκ τούτου ξήριον, ἐπιπάσσῃς δὲ τόπον τινὰ μέλλοντα κ. ἢ τίπτεσθαι (l. τύπτεσθαι) οὐκέστ' ἀνθήσεται (l. οὐκέτ' αἰσθήσεται). Réd. du v. i. : Si quis autem fixerit cocodrillum...

16. Réd. de R : Εἰ καὶ πρὸς ἐκείνων περιαφθοῖεν, ἀμφότεροι δὲ ἅμα συναφθῶνται... — ποιησ. τὰ ἀν.] facient incontinentiam v. i. (qui paraît avoir lu τὰ μὴ ἀνήκοντα).

20. καταχρ.] ἐγχρ. R. — ἀμβλυωπίας R.

24. αἵματος A. Corr. conj. Réd. de R : ἀπὸ τοῦ αἵματος αὐτοῦ ὁ πιὼν μανήσεται κ. οὐδ' ὅλως σωθήσεται.

πράξεις ποιεῖ · [φεύξεται ἀνὰ μέσον ἀντιπάλων, καὶ οὐδεὶς αὐτὸν (f. 80 v.) ὄψεται. Ποιεῖ δὲ ἐπὶ πάσης δίκης νικητικὸν καὶ] φάντασμα παντοῖον φεύξεται τὸν φοροῦντα, <καὶ> πᾶν τετράποδον ἄγριόν τε καὶ ἥμερον καὶ διελεύσεται ἀνὰ μέσον ἀντιπάλων, καὶ οὐδεὶς αὐτὸν ὄψεται. Ποιεῖ δὲ ἐπὶ πάσης δίκης νικητικὸν [καὶ φάντασμα παντοῖον φεύξεται τὸν φοροῦντα], ἀπελαύνει γὰρ πάντα τύπον ῥιγοπύρετον.

4] Δέρμα <δὲ> λύκου πρόβατον οὐχ ὑπερβήσεται.

5] Τὸ δὲ ἧπαρ αὐτοῦ ἐπιπασθὲν λεῖον, ξηρὸν ἡπατικοὺς ἰᾶται.

6] Ms. R, f. 262 v.) Ὁ δεξιὸς <δὲ> ὀφθαλμὸς καὶ ὁ τῆς οὐρᾶς πρῶτος σπόνδυλος ὁμοῦ οἱ δύο φορούμενοι ἐν χρυσῷ πετάλῳ καὶ ἔντιμον καὶ νικητὴν καὶ πρὸς γυναῖκα φιλητὸν καὶ ἐρωτικὸν ποιοῦσι.......

....

7] Fel autem ejus calefactum et modicum coagulatum oculos inunctos purgat super omne collyrium. Si autem os de collo lupi ligaveris ad collum ὀπισθοτονικοῦ, i. qui habet posteriorem spasmum, sanabitur.

< ΠΕΡΙ ΛΑΓΩΟΥ >

8] Λαγωός, lepus est animal quadrupes, velox et in fuga vertigines faciens.

9] Hujus sanguis calidus inunctus podagricos pedes sanat perfecte. Confectus autem in pulte et comestus dysentericos reparat, et corroborat.

10] Pulmo autem ejus minutatim incisus et palpebris impositus tumores oculorum et chimeda (l. χήμωσιν) sanat. [F. l. chimetla.]

11] Cor autem ejus in byssino (al. in albissimo) panno involve et ad collum suspende; quartanarios perfecte sanat.

12] Renunculi quoque ejus in condito vel melicrato bibiti nephriticos curant.

1. Réd. de R : ...μεγ. πρ. ποιεῖ · διαβήσεται γὰρ μέσον ἀντιπ. καὶ οὐδὲν οὐδενὶ περιοφθήσεται καὶ ἐπὶ πάσης δίκης νικ., εἰ μᾶλλον καὶ ἐν χρυσῷ σκεύει φορεῖ · φεύξ. γὰρ καὶ πᾶν φάντ. καὶ πᾶν τετράπ. ἄγρ. τε κ. ἥμ. καὶ εἴ τι ἄλλον (l. ἄλλο) ἐπίβουλον · ἀπελ. δὲ καὶ ῥιγ. οὕτως.

2. πᾶσαν A hic, et infra. — A mg. : Ὁμοίως καὶ ἡ γλῶσσα καὶ τὸ οὖς διαφορούμενα τὸ αὐτὸ ποιεῖ.

4. Nemo que eum tanget. Alter liber habet « videbit. » v. i.

5. γὰρ] F. l. δὲ sicut R. quoque v. i.

7. ἰᾶται]. Fin de la lettre Λ dans le ms. A. — Réd. du § 5 et addition dans le v. i. : Epar autem ejus siccum et tritum et cum μελικράτῳ bibitum epilepticos perfecte sanat et lunaticos ac maniosos. Κυνόδοντα autem ejus. i. caninum dentem si suspenderis ad collum lunatici vel expavefacti in die et in nocte, vel per somnium terribile, liberatur.

8. Manque dans le ms. A, outre la fin de la lettre Λ, la totalité des lettres M, N, Ξ, O. Cette lacune est comblée intégralement par le vieil interprète, et, en partie, pour les lettres Λ, M, N, O, par le ms. R. — δὲ addidi e v. i. (autem).

9. πετάλῳ] vase v. i. — victorem et divitem v. i.

11. Addition du v. i. : ... nec qui hoc gestat ophthalmiam patietur, imo ophthalmicos oculos sanat.

13] Fel autem ejus cum adipe vulpis et nardo liquefactum surditatem sanat. Si autem in pessario cum succo althaeae vel malvae mittatur et oleo, conceptionem adjuvat. Cum succo vero prassii .i. porri et irino unguento immissum mortuos foetus ejicit.

14] Coagulum quoque ejus cum propoli solutum et repositum puncturas et morsus venenosos curat.

15] Stercus autem ejus cum vino solutum calido sciaticos (l. ἰσχιαδικούς) omnino desperatos sanat et colicos. Similiter cum pipere tritum et bibitum nephriticos curat.

16] Pili autem ejus combusti et triti et super combusta loca sparsi, ulcera mundant, et cicatrices sanant, ut et pilos educunt. Et cum albugine ovi superpositi omnem fluxum sanguinis sistunt.

17] Pedes quoque viventis leporis circumsuspende in nomine patientis ; sanabit arthriticos, anticos, (l. ἀντιάδας) [ἀντίαδας v. i.], podagricos et chiragricos perfecte ; dextrum vero ad pedem dextrum et sinistrum ad sinistrum.

18] Cerebrum autem leporis inunctum in parvorum gengivis absque dolore educit dentes.

19] Tota autem pellis leporina cum auribus et ungulis combusta, et pulvis ex ea cum condito calamo datus lethargicos perfecte sanat.

<ΣΤΟΙΧΕΙΟΝ Μ.>

ΠΕΡΙ ΜΥΟΣ

1] Μῦς πᾶσι γνωστός. Τούτου τὴν κεφαλὴν καύσας σὺν στέατι χοιρείῳ ἢ ἀρκτείῳ καὶ τὴν τέφραν λειώσας ἀλωπεκίας ἰάσῃ.

2] Ὅλον δὲ τὸν μῦν καύσας σὺν οἴνῳ καὶ νάρδῳ ἢ ῥοδίνῳ ὠταλγίας χρονίας παραδόξως χρίσας ἰάσῃ.

3] Ζῶντος δὲ τοῦ μυὸς κόψας τὰ ἄκρα αὐτοῦ πάντα καὶ ἐνδήσας περίαπτε τῷ τραχήλῳ καὶ παύσεις πᾶν ῥῖγος.

. . . .

21. Le ms. R omet presque partout la lettre-rubrique.

23. Mus hospitiatus omnibus notus v. i. — Ordre suivi dans le v. i. : nos §§ 1, 2, 4, 5, 1re addition, 3, 2e addition.

26. χρίσας serait mieux placé après ῥοδίνῳ. — χρ. om. v. i.

27. ἐνδύσας R. Corr. v. i. — τὸν τράχηλον R. Correxi.

28. παύσεις π. ρ.] omnem typum et rigorem antiquum febrium mirabiliter ejicit.

29. 1re addition du v. i. : Si autem per os muris cum filo miseris, et per foramen extraxeris filum, colico sanitatem dabit.

4] Ἡ δὲ κόπρος αὐτοῦ ξηρὰ λεία σὺν ὄξει ἐπιχριομένη μασθοῦ σκληρίας καὶ ὀδύνας διαλύει τὰς μετὰ φλεγμονῆς.

5] Ξηρὰ δὲ ἐπιπαττομένη ἐξοχάδας αἴρει.

. . . .

< ΠΕΡΙ ΜΥΡΜΗΚΟΣ >

1] Μύρμηξ.) Formicarum species sunt VII. Una est omnibus nota : aliae vero sunt longi capitis et magnae, colore nigrae : aliae vero sunt tenues, et graciles et rubrae, quae dicuntur zinyphes : aliae magnae et latae ; aliae campestres et mediocres : aliae quoque εὐοδίαι, i. bonae viae, et sunt parvae ; aliae autem μυρμηκολέοντες, i. formicae leoninae, magnae ac variae et alatae, et carnes comedunt, sed cito moriuntur.

2] Omnes autem forcipe decapitatae et attritae, ac in palpebris positae, hordeolos sanant. Sic et campestres, quae frumentum comedunt, aequaliter faciunt.

3] Si quis autem XL formicas cum succo asphodeli decoxerit, et in potu alicui dederit, ἀνεκτός, i. remissus erit omnibus diebus vitae suae.

4] Elixatura earum infusa μυρμηκίας, i. formicarias cadere facit.

<ΣΤΟΙΧΕΙΟΝ Ν.>

ΠΕΡΙ ΝΥΚΤΕΡΙΔΟΣ

1] Νυκτερὶς ζῶόν ἐστιν τετράπουν πᾶσι γνωστόν. Ἵπταται ὡς χελιδών, καὶ τίκτει ὡς τετράποδον καὶ θηλάζει.

2] Τὸ γοῦν αἷμα αὐτοῦ ἐὰν χρίσῃς πρὸς ὀφθαλμῶν ἐκτετιλμένας τρίχας, οὐκέτι φύουσιν.

. . . .

1. μασθοῦ] μαστοὺς R. Corr. v. i.
3. Post delet (αἴρει) : in tribus diebus add. v. i.
4. 2e addition du v. i. : Oportet autem eos praelui cum vino. Cum aqua quoque illitum lepras et lichenas curat.
22. ἐκτετιλωμένας R. Corr. v. i.
24. 1re addition du v. i. : Si quis autem caput ejus cum panno nigro ad brachium dextrum ligaverit, non dormitabit neque dormiet usque quo portaverit ipsum. — Addition du ms. A, empruntée à la marge du folio 108 r. : Νυκτερίδος καρδίαν θὲς (l. θεὶς) εἰς τὸν ἀριστερὸν μασθὸν κοιμωμένοις (l. κοιμωμένης), καὶ ὁμολογήσει ὅσα ἂν ἐρωτήσεις. 2e addition du v. i. Si vero sanguinem ejus quis susceperit in panno, et foemina nesciente posuerit sub capite, si jacuerit cum ea, mox concipiet. Habet et alias efficacias, quas nunc tacebo ; non enim oportet eas publicari.

3] Ἀλλὰ καὶ ἡ καρδία αὐτοῦ φορουμένη μεγίστην ἀγρυπνίαν ποιεῖ.

. . . .

<ΣΤΟΙΧΕΙΟΝ Ξ.>

1] Xilonatis quaedam avis. Cichonatis (f. l. xichonatis) species est parvae crocodili.

2] < Si > de hujus frixura quis inunctus < fuerit >, sine dolore facit eum ad verbera. Est autem et magnum amatorium.

3] Comesti autem cocodrilli velut pisces impudentes et inverecundos faciunt comedentes.

4] Stercus autem illorum hebetudinem oculorum et albuginem sanat. Similiter et sanguis.

5] Dextra autem mola gestata erectionem facit; sinistra vero mulieribus desiccationem aequalem.

<ΣΤΟΙΧΕΙΟΝ Ο.>

ΠΕΡΙ ΟΝΟΥ

1] Ὄνος πᾶσι γνωστός · ἔχει δὲ δυνάμεις τοιαύτας. Ἐκ τοῦ ὄνυχος αὐτοῦ ἐκ προσθίου δεξιοῦ ποδὸς εἰ ποιήσεις δακτύλιον ἢ κρικίον καὶ δώσεις φορεῖν δαιμονιζομένῳ, σωθήσεται.

2] Ἡ δὲ κόπρος αὐτοῦ ἁπάσας (f. 263 r.) αἱμορραγίας ἵστησιν.

3] Ἐάν τις πτύῃ αἷμα καὶ ἐπάρῃ τὸ αἷμα τοῦ ζώου καὶ βάλλῃ τὸν χαλινὸν τοῦ ὄνου πλύνας εἰς αὐτὸ τὸ αἷμα, καὶ ἐξ αὐτοῦ δὲ δώσεις τῷ πάσχοντι ἐν βρώματι ἢ πόσει, ἀπαλλάξει αὐτόν.

4] Ἀλλὰ καὶ σκορπιοπλήκτους θεραπεύει πινόμενον.

5] Αἷμα δὲ ζῶντος ὄνου μετὰ κροκοδειλίας βοτάνης καὶ ἐλαίου συγχριόμενον τεταρταΐζοντας ἰᾶται.

6] Τὸ δὲ κρικίον τοῦ χαλινοῦ αὐτοῦ τὸ μικρὸν ὁ ποιήσας δακτύλιον καὶ φορῶν φεύξεται δαίμονας καὶ ἀποστρέφει πυρετούς.

16. Ordre suivi dans le v. i. : nos §§ 2, 5, 6, 7, 1, 1re addition, 8, 9, 10, 2e add. 4, § 3 omis.

18. σωθήσεται] Salvabitur eadem die v. i. (αὐθήμερον addendum est.)

7] Ἐάν τις καθεύδῃ ἐπὶ δορᾶς ὄνου, δαίμονας οὐ φοβεῖται οὐδὲ Γελοῦν καὶ νυκτερινὰ ἀντήματα.

. . . .

8] Δάκρυα δὲ ὄνου σὺν ἐλαίῳ σμίξας καὶ πλύνας λυχνίον καὶ ἅψας ὀψὲ ὄψει πάντας τοὺς ἐν συμποσίῳ ὀνοκεφάλους, καὶ αὐτοὶ τοὺς ἀλλήλους.

9] Τρίχα δὲ ἀπὸ τῆς πληγῆς τοῦ ὄνου εἰ λαβών, καύσας καὶ λειώσας δώσει τινι ἐν ποτῷ γυναικί, οὐ παύσεται πέρδειν, ἐάν ἐστιν ἡ θρὶξ ὄνου θελείας.

10] Εἰ δέ τις ἀπὸ σκορπίου πληγῇ καὶ εἴπῃ εἰς τὸ οὖς τοῦ ὄνου ὅτι « Σκορπίος με ἔπληξεν », ὁ μὲν πληγεὶς ἰαθήσεται, εἰς δὲ τὸν ὄνον ἡ ὀδύνη μεταπεσεῖται. . . . .

Ms. A, f. 80 v. (Reprise). ΣΤΟΙΧΕΙΟΝ Π.

ΠΕΡΙ ΠΡΟΒΑΤΟΥ

1] Πρόβατον πᾶσι γνωστόν. Τούτου τὸ στέαρ καὶ ὁ μυελὸς γίνεται σαπώνι. Προχωρεῖ δὲ εἰς πολλὰς χρείας.

2] Ὁ δὲ κριὸς ἔχει πράξεις τοιάσδε · ἐὰν γὰρ τὸ δεξιὸν αὐτοῦ κέρας πρίῃς, καὶ ποιήσῃς κτένιον, κτενίσῃς δὲ μετ' αὐτοῦ, ἡμίκρανον (f. 81 r.) θεραπεύει, τὸ μέντοι ἀπὸ τοῦ δεξιοῦ κέρατος δεξιὸν ἡμίκρανον, τὸ δὲ ἀριστερὸν εὐώνυμον.

3] Τοῦ δὲ ἡλίου ὄντος ἐν κριῷ, ἐὰν τὴν κόπρον ξηράνας τις ἐπιθῇ μετ' ὄξους ἐπὶ τῶν κεφαλαλγούντων, ἀπαλλάξει.

4] Οἱ δὲ ἐντὸς τῶν κεράτων σκώληκες φιλτροπόσιμόν εἰσι ἀπαράβατον.

5] Τὸ δὲ κέρας καπνιζόμενον τὰς ὑστερικὰς πνιγμονὰς ἀνακαλεῖται.

6] Πνεύμων δὲ προβάτου ἐσθιόμενος νήστει ἀμέθυστον τὸν ἐσθίοντα φυλάξει καὶ ὅσα πίνει.

7] Τὸ δὲ ἧπαρ αὐτοῦ ἐν ταῖς παρείαις τῶν γυναικῶν ἐπιτιθὲν ζεστὸν εὔχρουν καὶ εὔμορφον ποιεῖ τὸ πρόσωπον.

8] Τὸ δὲ στέαρ αὐτοῦ εἰς πεσσοὺς χρήσιμον.

1. Γελοῦν] F. l. Γελλῶ. — Nec etiam Gelo, nec Gillu, i. strigas v. i.

3. Addition du v. i. : Ex anteriori autem parte dextrae auriculae ejus si ligaturae phylacterium feceris, et dederis ad portandum mulieri sanguinis fluxum patienti, eadem die salvabitur.

6. Τρίχα...] Pilis autem auriculae asini combustis v. i.

9. « Habet et alias efficacias. » add. v. i.

11. σαπώνιον R, f. mel.

13. πρίῃς] χειρουργήσει R.

15. Le ms. R lit et ponctue ainsi : ...τὸ δέ γε λαιὸν τὸ εὐών. ἡμίκρανον, τοῦ ἡλίου ὄντος ἐν κριῷ. Ἐὰν δὲ τὴν κόπρον...

16. ἐπιθεὶς ἐπὶ μετώπου κεφαλαλγούντων, ἀπαλλάξεις R.

19. τ. κ. αὐτοῦ R. — φιλτροπόσιμοι A. Corr. R.

20. ἀνακαλεῖται (emendat), aperiunt v. i. (sc. ἀναχαλᾶται?)

9] Πνεύμων δὲ ἀρνίου ξηρὸς λεῖος δοθεὶς ἐν πότῳ τοῖς ὑπὸ δηλητηρίων (f. 81 v.) φαρμάκων βλαβεῖσιν ἀρήγει.

10] Χολὴ δὲ καὶ αἷμα τοῦ ἀρνίου ἐπιληπτικοὺς θεραπεύει.

ΣΤΟΙΧΕΙΟΝ Ρ.

ΠΕΡΙ ΡΙΝΟΚΕΡΟΥ

1] Ῥινόκερώς ἐστι ζῶον τετράπουν παραπλήσιον ἐλάφου, ἓν κέρας ἔχον κατὰ τῆς ῥινὸς μέγιστον. Ἄλλως δέ οὐκ ἀγρεύεται εἰ μὴ μύρῳ καὶ εὐμορφίᾳ γυναικῶν εὐστόλων · ἔστι γὰρ ἐρωτικόν.

2] Τούτου ὁ εὑρισκόμενος ἔνδον τῆς ῥινὸς ἢ τοῦ κέρατος λίθος <καὶ> φορούμενος δαίμονας ἀποδιώκει.

3] Οἱ δὲ ὄρχεις αὐτοῦ ποτιζόμενοι ἢ τὸ αἰδοῖον ἀνδράσι καὶ γυναιξὶ συνουσίαν παρορμᾷ ἀκρότατα.

ΣΤΟΙΧΕΙΟΝ Σ.

ΠΕΡΙ ΣΥΑΓΡΟΥ

1] Σύαγρός ἐστι χοῖρος ἄγριος. Τούτου οἱ ὄρχεις πινόμενοι ἀφροδισίαν παρορμῶσιν.

2] Ἡ δὲ κόπρος αὐτοῦ λειωθεῖσα σὺν ὄξει ἐρυσιπέλατα (f. 82 r.) ἰᾶται, καὶ ἡ χολὴ ὁμοίως.

3] Ἡ δὲ πυτία πινομένη ποιεῖ πρὸς πάντα τὰ θανάσιμα · ἔστι γὰρ ἀλεξιφάρμακον.

ΠΕΡΙ ΣΚΙΓΓΟΥ ΖΩΟΥ

4] Σκίγγος ἐστὶ ζῶον χερσαῖον ὅμοιον κροκοδείλῳ ἐν τῇ Μελανιτίδι γῇ εὑρισκόμενον.

1. ἀρνίου] ἀρνὸς R. — ἐν πότῳ ∾ ἀρήγει] Réd. de R : ἐν π. ὑπὸ δηλ. φαρμ. φαρμακευθεὶς ὑγείαν χαρίζεται.
3. Ἡ δὲ χ. κ. τὸ α. R. — θεραπεύει] ἰῶνται. R. — A mg. : Τοῦ ἀρνίου ἡ χ. κ. τὸ α. πῶς (l. πως) ἰῶνται τοὺς ἐπιληπτικούς.
5. F. l. ῥινοκέρωτος.
6. Ῥινόκερος A. — παραπλ. ἐλάφου] ὅμοιος ἐλάφῳ R.
7. ἄλλως δὲ] aliter erat : nec capitur... v. i. ἀγρεύσεται R. — καὶ ∾ εὐστόλων] καὶ γυναιξὶν εὐμόρφοις καὶ εὐστόλοις R.
9. καὶ add. R.
11. ὁ δὲ ὄρχις αὐτοῦ ποτιζόμενος R.
12. ἀκρότατον A.
15. ἀφροδίσια R, f. mel.
16. ἐρυσίπελον R.
20. ἐν Μελαντίδι γῇ R; in Melanitida regione v. i. On a vu ἐν τῇ Μελανίδι γῇ ci-dessus, p. 32, l. 19. Cp. la *Collection des Alchimistes grecs*, p. 102, l. 2, où il faut lire ἐν τῇ Μελανίδι γῇ. — A rapprocher de Αἰθιοπὶς γῆ, même *Collection*, p. 95, l. 10.

5] Τούτου τὸ ἄκρον τῆς οὐρᾶς καὶ οἱ δίδυμοι καὶ οἱ νεφροὶ πρὸς συνουσίαν διεγείρουσι τὸ μόριον, ἐν πότῳ δοθέν.

ΠΕΡΙ ΣΑΛΑΜΑΝΔΡΑΣ

6] Σαλαμάνδρα ζῶόν ἐστι τετράπουν μεῖζον σαύρας χλωρᾶς, ἐν θάμνοις δὲ καὶ ὕλαις διαιτώμενον.

7] Ταύτης ἡ καρδία φορουμένη ἄφοβον ποιεῖ πρὸς τὸ πῦρ τὸν φοροῦντα, καὶ ἄτρομον εἰς πυρκαίαν καὶ ἄκαυστον.

8] Τὸ οὖν ζῶον τοῦτο ἢ ἐν πυρὶ ἢ ἐν καμίνῳ (f. 82 v.) ἐμβληθὲν πᾶσαν φλόγα σβεννύει.

9] Καὶ εἴ τις τὴν καρδίαν τούτου περιάψει πυρέσσουσιν, παραυτίκα ἀπέδρα ὁ πυρετός.

10] Εἰ δὲ περὶ τοῖς γόνασιν γυνὴ αὐτὴν φορεῖ, οὔτε ὅλως συλλήψεται, οὔτε ἔμμηνα ὁρᾷ.

11] Εἰ δὲ δέρματι μελανῷ αὐτὴν ἐνδήσεις καὶ περιάψεις ἀγκῶνι, τριταῖον, τεταρταῖον καὶ πάντα πυρετὸν ἰάσεις.

12] Καυθεῖσα δὲ καὶ πασθεῖσα ἀνασπᾷ μυρμηκίας καὶ τοὺς ἐν χερσὶν καὶ ποσὶν <ἥλους>.

ΣΤΟΙΧΕΙΟΝ Τ.

ΠΕΡΙ ΤΑΥΡΟΥ

1] Ταῦρος πᾶσι γνωστὸς καὶ αὐθάδης.

2] Ταύρου χολὴ μετὰ ὠῶν λεκίθων συλλειωθεῖσα καὶ χρισθεῖσα οὐλὰς ὁμόχρους ποιεῖ.

3] Σὺν ὄξει δὲ σμηχομένη ἀλφοὺς μελανοὺς ἰᾶται, καὶ πίτυρα κεφαλῆς καθαίρει, καὶ φακοὺς (f. 83 r.) καὶ ἐφήλεις γυναικῶν καθαίρει διὰ τῶν ἔξωθεν παιδίων· οὐκ αὐτὸ γὰρ τὸ ζῶόν ἐστιν ἰσχυρόν, ἀλλ' ἡ περικειμένη ἐν αὐτῷ δύναμις ἔσωθεν παιδίων· καὶ γὰρ ἄνθρωπος ἐὰν αὐτὸ φορῇ, πάντα γνώσεται.

4] Ὁμοίως δὲ καὶ αἶξ κέρας μὴ ἔχουσα, ἐὰν αὐτὸ φορῇ, χρηματίσει.

4. μείζωνος ζαύρας χλ. ὅμοιον R.
6. ποιεῖ τὸν φορ. ὑπὸ τοῦ πυρὸς R.
10. Réd. de R : τὴν τούτου καρδίαν περ. πυρ. βοηθεῖ μεγάλως.
12. Εἰ δέ<τις> add. R. — τὰ γόνατα R.
13. αἷμαν ἴδοι R. — Imo exstinguetur add. v. i.
17. ἥλους add. R ; clavos v. i.
23. σμηχ.] μιγνυμένη R. — καθαίρει om. R, f. mel.
24. καθαίρει] ejicit v. i. (sc. ἐκβάλλει). — διὰ τῶν ἔξ. π.] propter pueros qui sunt extra. v. i. — παιδίων corrigé en πεδίων dans R ici et plus bas. Il y a probablement une lacune entre καθαρεί et διὰ τῶν ἔξ. π. On ne voit pas à quoi peut se rapporter αὐτὸ, l. 26 et l. 27.
26. Réd. de R : ἡ αἶξ κ. μὴ ἔχ. τὸ αὐτὸ δρᾷ· ἧς φορούμενος χρηματίζει.

5] Ὁμοίως δὲ καὶ ἀνδρίαντι περιθέμενος χρηματίζει, καὶ οἱ ἐπιορκοῦντες ἐξαγορεύσουσιν καὶ ὁμολογήσουσι, καὶ ἀναθέματα μέγιστα τεθήσονται ἐν τῷ τόπῳ ἐκείνῳ.

6] Λαβὼν οὖν τὸν ἱέρακα τὸν πελάγιον ἀπόπνιξον ὕδατι ὀμβρίῳ · ὁμοίως καὶ ἔποπα πνίξον ἐν τῷ ὕδατι καὶ βαστάζων αὐτῶν τοὺς ὀφθαλμοὺς θεράπευσον σμύρνῃ καὶ κρόκῳ καὶ ξήρανον αὐτοὺς ἐν σκιᾷ, ἄνευ (f. 83 v.) ἡλίου.

7] Τηρῶν [αὐτῶν] τὰ σώματα δὲ αὐτῶν θάψον ἐν τῇ γῇ ἐν τόπῳ ὅπου ἐστὶν ὁ φορῶν, εἴτε ἄνθρωπος, εἴτε ἄλλο τι.

8] Λαβὼν τοὺς ὀφθαλμοὺς φόρει.

9] Σὺν μέλιτι δὲ <ἡ χολὴ> χριομένη στομαχικοὺς ἄκρως ἰᾶται.

10] Σὺν δὲ ἰρίνῳ μύρῳ διπλῇ μιγεῖσα καὶ ἐν πεσσῷ προσαχθεῖσα ἄγει ἔμμηνα πολλὰ αὐθήμερον.

11] Σὺν δὲ ἀμαρακίνῳ μύρῳ καὶ ἀφρονίτρῳ προσαχθεῖσα ἔμβρυα νεκρὰ καθέλκει.

12] Καθ' ἑαυτὴν δὲ περιχρισθεῖσα τῷ δακτυλίῳ ἢ τῷ ὀμφαλῷ ἡ χολὴ πλεῖον κλυστῆρος κενοῖ τὴν γαστέρα.

13] Καταπλασθεῖσα δὲ <τῷ> ὀμφαλῷ ἕλμινθας ἐκτινάσσει.

14] Ἡ δὲ κόπρος τοῦ ταύρου καὶ τὰς ἀπὸ μυκτήρων αἱμορραγίας στέλλει καὶ ἀλωπεκίας δασύνει καὶ τὰς ῥεούσας τρίχας ἐκ νόσου ἵστησι.

15] (F. 84 r.) Τὸ δὲ αἷμα αὐτοῦ ξηρὸν [βρωθὲν καὶ] λειωθὲν σὺν ἐλαίῳ ὀμφακίνῳ καὶ ἀλειφὲν πολιὰς τρίχας μελαίνει · ἔστω δὲ μελανοῦ ταύρου.

16] Ὅταν δὲ ἀποθάνῃ ταῦρος, εἰς ἡμέρας ζʹ ποιεῖ σκώληκας οἵτινες εἰς καʹ ἡμέραν γίνονται μέλισσαι ποιοῦσαι μέλι, ἃς δεῖ συνάγειν ἐν τοῖς σίμβλοις καὶ ἔχειν.

ΠΕΡΙ ΤΡΑΓΟΥ

17] Τράγου τὸ αἷμα ξηρὸν μετὰ κηκίδων καὶ βαλαυστίου ἐν βρώματι δοθὲν δυσεντερικοὺς θεραπεύει.

18] Ὁμοίως κατάκλεισον εἰς σφραγίδα χρυσῆν δισκοειδῆ μετὰ γλώσσης βατράχου καὶ κιναμώμου ἢ μόσχου, καὶ συρράψας εἰς δέρμα ἐλάφου περίαπτε, ἢ ἐντίθει τοῦτο ἐν ζῳδίῳ, καὶ ἔσονται ἐν τῷ τόπῳ (f. 84 v.) ἐκείνῳ θυσίαι ὀνομασταί. Ποιεῖ <δὲ> καὶ ὁ κοινὸς ἱέραξ. Τοῦτο δὲ πάνυ κρύβε.

1. Réd. de R : ...περιτιθέμενον χρηματίζειν παρέχει, ἀλλὰ καὶ οἱ ἐπ. ἐξαγορεύσονται καὶ ἀναθ. μέγ. θήσουσι ἐν τ. τ. ἐκ.
4. βαστάζων ∾ θερ.] καὶ λαβὼν αὐτῶν τ. ὀφθ. θερ. R.
9. ἡ χολὴ add. R ; fel, ut puto v. i.
10. ἔμμηνα π.] αἷμαν πολὺ R.
12. ἀμαρακτίῳ (l. ἀμαραντίνῳ, R (male?). — προσαχθ. τῷ δακτύλῳ (l. δακτυλίῳ) R, f. mel.
15. τῷ add. R.
16. ὁ δὲ κ. A ; ἡ δὲ κ. R. — συστέλλει R.
18. βρωθὲν καὶ om. R, f. mel. commixtus v. i.
20. Le ms. R om. le § 16. — καʹ] XXXI v. i.
23. βαλαυστίου ὅ ἐστιν ῥόδων Αἰγυπτίων ἐν βρώσει δοθὲν R. — A mg. : τὸ βαλαύστιόν ἐστιν ῥούδω (?) αἰγύπτιον.
26. ἐντίθει ∾ ὀνομασταί] Réd. de R : ἐντίθει τῷ τόπῳ, ἐν ζῳδίῳ τινὶ καὶ ἔσονται λοιπὸν θυσίαι ὀνομασταί.
28. δὲ add. R. — κρύβε] φύλαττε R.

19] Τὸ δὲ λίπος αὐτοῦ τὸ ἐκ τῶν νεφρῶν ἑψηθὲν μετὰ χόνδρου ἢ ὀρύζης χυλοῦ ἐνίεται πρὸς τὰ ὦτα.

20] Τὸ δὲ λάδανον αὐτοῦ τοῦ ἐκ τοῦ πώγωνος συναγόμενον ποιεῖ πρὸς ἀλωπεκίας καὶ τριχορροίας, σὺν οἴνῳ καὶ ἐλαίῳ ὀμφακίνῳ · σὺν ὄξει δὲ χριόμενον κεφαλαλγίαν παύει.

21] Τὸ δὲ στέαρ μετὰ ἰξοῦ καὶ σανδαράχης λεῖον περιπλασθὲν ὄνυξι ψωριῶσιν ἐκριζοῖ αὐτούς.

22] Ἐὰν δέ τις χρίσῃ τράγου μυκτῆρας μύρῳ καὶ τρίψῃ τὴν χεῖρα αὐτοῦ ἐξ αὐτοῦ, ποιεῖ ἀπὸ ἡδονῆς ἀποσπερματῶσαι · τοῦτο τὸ σπέρμα <λαβῶν>, ἐὰν χρίσῃς ἀνθρώπου μόριον, ἔντασιν ἕξει μεγίστην (f. 85 r.) καὶ ἀκαταμάχητον εἰς γυναῖκας καὶ φοβεράν.

ΣΤΟΙΧΕΙΟΝ Υ.

ΠΕΡΙ ΥΑΙΝΗΣ

1] Ὕαινα, ζῶον τετράπουν, ἀνήμερον, διφυές · τὸ γὰρ ζῶον τοῦτο γεννᾶται θήλεια καὶ μετὰ ἐνιαυτὸν γίνεται ἄρρεν · εἶτα πάλιν μετὰ ἄλλον ἐνιαυτὸν γίνεται θῆλυ. Ὅτε μὲν βιβάζει, ὅτε <δὲ> βιβάζεται καὶ κύει καὶ μασθοδοτεῖ. Ἔχει δὲ δυνάμεις τοιαύτας.

2] Ἡ χολὴ τοῦ ζώου τούτου γλυκεῖα ὑπάρχουσα ἐνεργεῖ. Σκευάζεται δὲ δι' αὐτῆς ἐπίδειξις μεγίστη · τὸ δέ <γε> σύνθεμά ἐστι τοιοῦτον · γλαύκου ἰχθύος <οἱ> ὀφθαλμοὶ καὶ χολὴ ὑαίνης ὅλον τὸ ὑγρόν · λείου ὁμοῦ πάντα καὶ ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ, εὖ μάλα περισκέψας.

3] Εἰ οὖν βούλει ἔνδειξιν μεγίστην ποιῆσαι, ποίησον οὕτως. (F. 85 v.) Λύχνου τεθέντος, ἐὰν στέαρ οἵου βούλει ἑρπετοῦ ἢ τετραπόδου μίξῃς μετὰ βραχέος τοῦ συνθέματος, καὶ χρίσῃς βυβλάριον ἢ χυνάριον, καὶ δείξῃς τοῖς παροῦσιν ὄψιας

1. Τὸ δὲ ἀπὸ τῶν ν. αὐτοῦ λίπος R, f. mel.
6. σανδαράχης] ἀρσενικοῦ ἐρυθροῦ. R. — ψωρ.] φθειριῶσιν R.
8. τράγου] ταύρου R. — ἐξ αὐτοῦ] ἐπ' αὐτοὺς R, f. mel.
9. τοῦτο δὲ τὸ σπ. R, f. mel. — λαβὼν add. R.
10. ἕξει] ἐμποιήσεις R. — ἀκαταμάχητον εἰς γυναῖκας] ἀκατάβλητον εἰς γυναικῶν συνουσίας R.
14. τὸ γὰρ ζ. ∾ καὶ μετὰ ἐν.] γεννᾶται γοῦν κατὰ πρῶτον θῆλυ, καὶ μετ' ἐν. R.
15. ἄλλον] ἕτερον R, f. mel. — γίνεται om. R, f. mel. — θήλεια καὶ ἕτερον μεταμείβεται τὴν φυήν · καὶ ὅτε μὲν...
16. δὲ addidi.
18. τούτου τοῦ ζ. R, f. mel.
19. γε add. R.
20. ἀπόθου τοῦτο R.
21. εὖ μ. περ.] καλῶς πωμασθέντι R.
22. μεγ.] τινα R.
23. τοῦ om. R.
24. Réd. de R : συνθ. τοῦ προοικονομηθέντος (praedictae v. i.), χρίσεις δὲ μετ' αὐτοῦ βιβλάριον ἢ χηνάριον... — βιβλάριον ἢ χυνάριον A (να écrit au-dessus de χυ) ; inularium vel chinariton v. i. F. l. βυβλ. ἢ χαρτάριον.

λύχνου τεθέντος, δόξουσιν ἐκεῖνοι εἶναι τὸ θηρίον οὗ ἐστιν τὸ στέαρ, εἴτε λέοντος, εἴτε ταύρου ἢ ὄφεως ἢ ἑτέρου τινός.

4] Ἐὰν οὖν θέλῃς ἐνδείξασθαι, στέαρ οἵου θέλεις θηρίου, μετὰ ὀλίγου τοῦ συνθέματος ἐπίθες ἐπὶ ἀνθράκων ἐν μέσῳ τοῦ οἴκου, καὶ φανήσεται τὸ ζῶον οὗ τὸ στέαρ προσέμιξας. Τὸ αὐτὸ δὲ ποιεῖ καὶ ἐπὶ πετηνῶν.

5] Ἐὰν δὲ ἀπὸ κύματος θαλάσσης ὕδωρ βραχὺ μίξῃς τῷ συνθέματι καὶ ῥάνῃς ἐν συμποσίῳ, πάντες φεύξονται νομίζοντες θάλασσαν ἐν μέσῳ αὐτῶν εἶναι.

6] Ἐὰν δὲ θύσῃς τὴν ὕαιναν (f. 86 r.) σελήνης οὔσης ἐν διδύμοις ἢ ἐν παρθένῳ, δῷης δὲ ἐκ τοῦ πνεύμονος αὐτῆς ἐκζεσμένου λάθρα, σεληνιαζομένους θεραπεύεις. Ἱστόρησα τοῦτο, καὶ ἐθαύμασα ἐπὶ ἐπιληπτικοῦ πῶς πυκνῶς λαμβανόμενος ὁ ἄνθρωπος οὐκέτι κατέπεσε. Δίδου δὲ γο β' ἢ τρεῖς. Ἱστόρησα δὲ καὶ περὶ τοῦ συνθέματος καὶ συνέπραξα ἐν αὐτῷ.

7] Ἔχει δὲ <καὶ> ἑτέραν σκευασίαν · ἡ χολὴ γὰρ πρὸς ἀμβλυωπίας, δικοριάσεις ἰκτερίων, ἀρχὴν ὑποχύσεως, ἀχλὺν νεφελίων, πτίλους, μίλφας ὠφελεῖ.

8] <Ἔχει δὲ οὕτως>. Τῆς οὖν χολῆς < ο ς', λυκίου ἰνδικοῦ <ο β', ὀποβαλσάμου <ο α', σμύρνης <ο γ', χυλὸν ἱερακίτιος βοτάνης (ἔστιν δὲ ἀγριοθρίδαξ), <ο η', (f. 86 v.) πεπέρεως <ο α', μέλιτος γο ς'. <Ταῦτα> λειώσας εὖ μάλα καὶ ποιήσας ὑγροκολλούριον, ἀπόθου ἐν ὑελίνῳ ἀγγείῳ καὶ χρῶ.

9] Ἐὰν δὲ ὑδροφόβῳ ἢ λυσσοδήκτῳ δῷης στέαρ ὑαίνης, σωθήσεται · δίδου δὲ ἀγνοοῦντι.

10] Εἰ δὲ τοὺς δύο ὀφθαλμοὺς ζώσης τῆς ὑαίνης ἐξέλῃς καὶ περιάψῃς τοῖς δυσὶ βραχίοσιν ἐν πορφυρῷ ῥάκει, ἀποδιώξεις πάντα φόβον νυκτερινὸν καὶ τὴν Γελλοῦν τὴν πνίγουσαν τὰ βρέφη καὶ τὰς λοχὰς ἐνοχλοῦσαν, καὶ πᾶν δαιμόνιον φεύξεται.

11] Ἡ δὲ γαστὴρ αὐτῆς ξηρὰ κοπεῖσα καὶ μιγεῖσα ἰρίνῳ μύρῳ καὶ ἀλειφομένη θεραπεύει τοὺς χολερικοὺς καὶ τοὺς ἐκ πολλῆς κενώσεως σπωμένους καὶ ἄρθρων ὀδύνας.

1. λ. τεθέντος] lucerna accensa v. i. F. l. ἀφθέντος. — οὗ] ὃ A. Corr. R. — ἐστιν] ἦν R.
5. ἐπὶ πετηνῶν] πρὸς πετ. R, f. mel.
6. Ὡσαύτως δὲ ἐὰν... R.
9. σεληνιαζομένῳ, αὐτὸν θεραπεύσεις R.
10. Réd. de R : καὶ τεθαύμακα, ὦ βέλτιστε, ἐπὶ ἐπιληπτικῶν πῶς πυκνὰ... — ἐπιληπτικοὺς A. Correxi e v. i.
13. καὶ add. R.
14. δικοριάσεις] δυσκοριάσεις R ; diaeconasim v. i. Cp. δικορία (1re Cyranide, lettre Π, § 7.) — F. l. ἰκτερικῶν. initium et ictericorum v. i. — νεφ. ∾ ὠφ. om. R. (Cp., l. 19, l'addition de R.)
16. ἔχ. δὲ οὕτως add. R.
17. ἱερακίτιος... <ο η'] ἀνθύλης <ι' R. — A mg. : ἱερακίτις βοτάνη, τὸ ἀγριομαρούλιόν ἐστιν.
18. γο α'] <ς" R. f. mel.
19. ὑγροκολλ.] κολλούριον καὶ R. — Après χρῶ, addition de R : Τοῦτο ποίει πρὸς ἀμβλυωπίας καὶ δυσκοριάσεις καὶ ἀρχὴν ὑποχύσεως, καὶ νεφελίων ἀχλὺν αἴρει καὶ ὅσα ἐν ὀφθαλμοῖς συνίστανται πάθη.
20. ὑδροφόβους ἢ λυσσοδήκτους A. Corr. R.
22. Le ms. R omet nos §§ 10, 11 et 12.
23. F. l. Γελλῶ.

12] (F. 87 r.) Ὁ δὲ δεξιὸς αὐτῆς πους ἐὰν περιαφθῇ ἐν φιάλῃ καὶ δοθεῖσα πιεῖν ἐν αὐτῇ λυσσοδήκτῳ ἢ ὑδροφόβῳ, σωθήσεται παραχρῆμα.

13] Τὸ δὲ ἧπαρ αὐτῆς ἐσθιώμενον τεταρταΐζοντας ἰᾶται καὶ τρομικοὺς καὶ καρδιακούς. Ἐπὶ πάντων δὲ δίδου λαθραίως.

14] Ἐὰν δέ τις τὴν γλῶσσαν αὐτῆς φορῇ ἐν ἀριστερῷ ὑποδήματι καὶ πορεύσηται, φιμωθήσονται πάντες κύνες καὶ ἄνθρωποι · ἔστι γὰρ φιμοκάτοχος.

15] Ὁ δὲ ἐπίπλους αὐτῆς σὺν ἐλαίῳ τηχθεὶς πᾶσαν φλεγμονὴν θεραπεύει.

16] Ὁ δὲ ἐκ τῆς ῥάχεως αὐτῆς μυελὸς ἀλειφόμενος πάντα πόνον ψυῶν καὶ ῥάχεως ἰᾶται.

17] Στέαρ δὲ ἐκ τῶν ὀστῶν τῆς ὀσφύος αὐτῆς ὑποκαπνιζόμενον ταῖς δυστοκούσαις ὠκυτόκιόν ἐστιν μέγιστον.

18] (F. 87 v.) Ἡ δὲ ὑαίνειος κύστις ξηρά, λεία, σὺν οἴνῳ ποθεῖσα τοὺς ἐνουροῦντας παῖδας αὐτομάτως τοῖς στρώμασι καταπαύει.

19] Ἐκ δὲ τοῦ δέρματος αὐτῆς ὀλίγον περιαφθὲν ἢ ὑποδήματα ἐξ αὐτοῦ γινόμενα καὶ φορούμενα θεραπεύει ποδαγρούς, γοναγρούς, χειραγρούς, ἀρθριτικοὺς καὶ πάντα ῥευματισμόν, καὶ ἀλγήματα νεύρων παραχρῆμα παύει.

20] Ἡ δὲ χολὴ <αὐτῆς> μετώπῳ χριομένη καὶ τοῖς βλεφάροις πάντα ῥευματισμὸν ὀφθαλμῶν ἵστησι, καὶ ὀφθαλμίαν πᾶσαν, μετὰ μέλιτος ἐγχριομένη, καὶ ὀξυωπίαν παρέχει.

21] Δορὰ δὲ ὑαίνης κύνας διώκει · πρὸ θυρῶν κρεμαμένη καὶ πᾶσαν ἐπιβούλην ἀποστρέφει.

ΣΤΟΙΧΕΙΟΝ Φ.

ΠΕΡΙ ΦΩΚΗΣ

1] Φώκη ζῶόν ἐστι τετράπουν, ἔνυδρον, ἀμφίβιον (F. 88 r.). Γεννᾷ ὥσπερ τὰ τετράποδα · ἔχει δὲ δυνάμεις πολλάς. Ὁ γὰρ ἐγκέφαλος αὐτῆς πινόμενος δαίμονας ἀποδιώκει.

2] Ἡ δὲ κεφαλὴ καεῖσα καὶ μετὰ κεδρίας συνλειωθεῖσα ἀλωπεκίας καὶ πᾶν πάθος θεραπεύει.

1. δοθεῖσα πιεῖν] et detur ad portandum (l. potandum) v. i.

3. αὐτῆς ξηρὸν πινόμενον τεταρταΐζοντας R. — ἰᾶται καὶ τρομικούς]. Derniers mots communs aux mss. A, R et au v. i. Le ms. R omet nos §§ 14 et 15; il rédige ainsi le § 16 : Ὁ δὲ μυελὸς ἐπαλειφόμενος ψυαλγικοὺς καὶ ἰσχιαδικοὺς ὠφελεῖ. — Il omet les §§ 17 et 18 ; il rédige ainsi les suivants : § 19. Τὸ δὲ δέρμαν αὐτῆς φορ. ποδαγρικοὺς ἰᾶται. — § 20. Ἡ δὲ χ. αὐτῆς ἐν τῷ μετώπῳ ἐπιχρισθεῖσα καὶ ἐν τῷ βλεφάρῳ σὺν μέλιτι πᾶν ῥεῦμα ὀφθαλμῶν ἰᾶται. Avec ces mots finit le texte des Cyranides dans le ms. R (f. 264 r.).

8. ῥάχης A (2 fois). Corr. conj.

12. κύστις] κίστη A.

17. αὐτῆς add. R.

3] Ὁ δὲ δεξιὸς αὐτῆς ὀφθαλμὸς φορούμενος ἐν ἐλαφείῳ δέρματι ἀξιέραστον καὶ ἐπιτευκτικὸν ποιεῖ τὸν φοροῦντα.

4] Ἡ δὲ καρδία φορουμένη ὁμοίως καὶ ἡ πυτία πᾶν μὲν χαλεπὸν ἀποστρέφουσιν, πᾶν δὲ ἀγαθὸν ἐπιφέρουσι τῷ φοροῦντι.

5] Ἐὰν δὲ τὰς ἐν τῇ ῥινὶ αὐτῆς τρίχας ἐν ἐλαφείῳ δέρματι δήσας φορῇς, τὰς μεγάλας καὶ τραχείας λέγω, καὶ εἰσελεύσεται ἀνὰ μέσον πολεμίων, πάντες αὐτὸν ὡς φίλον ἀσπάσονται.

6] Ἡ δὲ γλῶσσα (f. 88 v.) ὑπὸ τὰ ὑποδήματα φορουμένη νίκην παρέχει.

7] Τὸ δὲ στέαρ πᾶσαν φλεγμονὴν καὶ ὀδύνην ἄρθρων ἰᾶται.

8] Ἡ δὲ δορὰ ζωννυμένη νεφροὺς καὶ ἰσχία θεραπεύει.

9] Αἱ δὲ σάρκες ἐσθιόμεναι καὶ τὸ αἷμα σὺν οἴνῳ πινόμενον ξηρὸν λάθρα πᾶσαν ἐπιληψίαν καὶ μανίαν καὶ σκότωσιν καὶ πᾶν πάθος ἰᾶται.

10] Ὁμοίως καὶ τὸ ἧπαρ καὶ ὁ πνεύμων καὶ ὁ σπλὴν ξηρὰ ἐν πότῳ ἐπιπασσόμενα τὰ ὅμοια ἰῶνται καὶ πᾶν πάθος.

11] Τὰ δὲ ὀστᾶ ὑποκαπνιζόμενα ὠκυτόκιά εἰσιν.

12] Ἡ δὲ χολὴ σὺν μέλιτι χριομένη πᾶσαν ὀφθαλμίαν θεραπεύει.

13] Ὁ δὲ ἐγκέφαλος πινόμενος ἱερὰν νόσον θεραπεύει.

14] Ἐὰν δέ τις τὴν καρδίαν τῆς φώκης καὶ τὸ ἄκρον τῆς γλώσσης καὶ τρίχας τῆς ῥινὸς καὶ τὸν (f. 89 r.) δεξιὸν ὀφθαλμὸν καὶ τὴν πυτίαν ἐνδήσῃ ἐν ἐλαφείῳ δέρματι ἢ φωκείῳ καὶ φορῇ, ἔσται νικῶν πάντας ἐν πολέμῳ καὶ γῇ καὶ θαλάσσῃ · φεύξεται δὲ αὐτὸν πᾶσα νόσος καὶ πάθος καὶ κλιμακτῆρες καὶ πᾶς δαίμων καὶ θήρα · ἔσται δὲ πλουτῶν καὶ εὐδαιμονῶν καὶ ποθητός.

ΠΕΡΙ ΦΡΥΝΟΥ ΒΑΤΡΑΧΟΥ

15] Φρῦνός ἐστιν εἶδος βατράχου χλωροῦ ἐν τῇ χερσαίᾳ διατρίβων. Οὗτος ἐὰν πτύσῃ <εἰς> ἄνθρωπον, ὁλομάδιστος γίνεται.

16] Τὸ δὲ αἷμα αὐτοῦ δηλητήριόν ἐστι τριχῶν.

17] Φρῦνοι πολλοὶ ἑψηθέντες ζῶντες ἐν ἐλαίῳ μετὰ θύμου κόμης καὶ πρασίου καὶ σκίλλης ἕως τριῶν ἡμερονυκτίων εἰς κάμινον λούτρου ποδαγροὺς ἰῶνται παραδόξως.

18] (A mg.). Τὸ δὲ ἧπαρ αὐτοῦ ἐάν τις λειώσας ἐπιβάλῃ εἰς ὅπερ λούεται ὕδωρ, ἀπορρυήσονται βλεφάρων αἱ τρίχες.

19] (A mg.). Ἐὰν δὲ τὸν φρῦνον βάλῃς εἰς χύτραν καινὴν καὶ περισπιλώσῃς ἕως

2. τῶν φοροῦντα A.
21. θήρα] F. l. θήρ.
22. δὲ] F. l. γάρ. Erit enim beatus v. i.
23. F. del. βατράχου.
25. εἰς add. R. in homine v. i.
30. Le v. i. omet nos §§ 18 et 19.
32. κενὴν A. Correxi.

ἂν ἀπανθρακωθῇ, τούτου ἡ τέφρα μετὰ ὄξους σμηχομένη πᾶσαν αἱμορραγίαν ἵστησιν ἀνδρῶν τε καὶ γυναικῶν ἀπό τε νεφρῶν καὶ ὑστέρας, καὶ ῥύσιν(?) φλεβός, καὶ ἀρτηρίας παύσεται τομήν· καὶ ἁπλῶς εἰπεῖν, ὅπου αἱμορραγία γίνεται. Εἰ δὲ δοκιμάσαι θέλεις, λαβὼν μάχαιραν ἐπίχρισον ἐκ τῆς τέφρας, καὶ σφάξον τετράποδον οἷον θέλεις, καὶ ἐξ αὐτοῦ αἷμα οὐ ῥεύσει.

(F. 89 v.) ΣΤΟΙΧΕΙΟΝ X.

ΠΕΡΙ ΧΑΜΑΙΛΕΟΝΤΟΣ

1] Χαμαιλέων ἐστὶν ζῷον ἐοικὸς κροκοδείλῳ· ἑκάστης ὥρας τῆς ἡμέρας χρόαν ἀναλλάσσει. Ἔχει δὲ τὸ πρόσωπον λέοντος, τοὺς δὲ πόδας καὶ τὴν οὐρὰν κροκοδείλου, χροιὰν δὲ ποικίλην. Τούτου ἀπὸ τῆς κεφαλῆς ἕως τῆς οὐρᾶς τέταται ἓν νεῦρον στερεόν, ὅπερ ἀναιρεθὲν εἰς ὄνομα τοῦ πάσχοντος καὶ περιαφθὲν τραχήλῳ ὀπισθότονον θεραπεύει.

2] Ἡ δὲ χολὴ αὐτοῦ γλυκανθεῖσα κοσμεῖ αὐθήμερον· τὰ δὲ ἄλλα πάντα μέλη ἐξ ἴσου δρῶσιν ὅσα ἡ φώκη καὶ ὕαινα.

3] Σὺν δὲ ῥίζῃ [χαμαιλέοντος] χόρτου φορουμένη ἢ κρατουμένη ἡ γλῶσσα αὐτοῦ καὶ βουγλώσσου φιμοκάτοχόν ἐστιν μέγιστον πρὸς ἐχθρούς.

ΣΤΟΙΧΕΙΟΝ Ψ.

ΠΕΡΙ ΨΑΜΜΟΔΥΤΟΥ

1] (f. 90 r.) Ψαμμοδύτης ὁ ἀσφάλαξ καὶ ἐν τῷ πρώτῳ στοιχείῳ εἴρηται. Ὁπόσα μέλη ἔχει καὶ δυνάμεις τόσας ἔχει εἰς ὠφέλειαν, ὥστε καὶ ἐπιληψίας καὶ ἀλφοὺς καὶ πόδας καὶ ἐλεφαντιάσεις καὶ ὀφιάσεις θεραπεύει· καὶ πολύχρηστον καὶ χρηματικόν ἐστιν τὸ ζῷον καὶ πάνυ προσφιλές.

ΠΕΡΙ ΨΥΛΛΟΥ ΘΑΛΑΣΣΙΟΥ

2] Ψύλλος ἐν αἰγιαλοῖς εὑρισκόμενος ἑψηθεὶς σὺν ῥοδίνῳ ἢ λευκίνῳ ἐλαίῳ ὠταλγίας βοηθεῖ.

15. F. l. Σὺν δὲ ῥίζῃ χόρτου καὶ βυγλώσσου φορουμένη...

16. φιμοκάτοχος A. Correxi.

19. Réd. du v. i. : Ψαμμοδύτης est phalangium, qui et harpocration dictus est [?]. — Ἐν τῷ πρώτῳ στοιχείῳ.] Voir la lettre A, §§ 28 à 37. Noter toutefois que l'on ne retrouve ici aucune des vertus attribuées à la taupe dans ces paragraphes.

3] Ψύλλους δὲ θαλασσίους πολλοὺς ἑψήσας ἐν ὕδατι θαλασσίῳ μετὰ φυλλίου βοτάνης ῥαῖνε ὅπου εἰσὶν ψύλλοι πολλοί, καὶ οὐκέτι ὑπάρξουσιν.

4] Ἐὰν δὲ ἁλιεὺς χρᾶται ὡς δελεάσματι τῷ φύλλῳ, ἐπιτεύξει τῆς ἁλιείας. Δίδου δεσμὸν δορᾷ δελφινίῳ.

(F. 90 v.) ΣΤΟΙΧΕΙΟΝ Ω.

ΠΕΡΙ ΩΩΝ

1] Ὠὰ ἀράχνης εὑρισκόμενα ἀρχομένου τοῦ ἦρος ἐν ταῖς ὁδοῖς, καὶ αὐτοῦ τοῦ φαλαγγίου τὰ ὠά. Ἐὰν οὖν λάβῃς εἰς ὄνομα τοῦ πάσχοντος καὶ ἐνδήσῃς ῥάκει μελανῷ καὶ περιάψῃς εὐωνύμῳ βραχίονι, τριταῖον, τεταρταῖον καὶ ἀμφημερινὸν ἰᾶται. Δεῖ δὲ λαμβάνειν ληγούσης σελήνης καὶ οὔσης αὐτῆς ἐν ἰχθύσιν, ἐν ἡμέρᾳ σαββάτου περὶ ὥραν θ′, ἐπὶ μὲν ἀμφημερινοῦ α′, ἐπὶ δὲ ἡμιτριταίου β′, ἐπὶ δὲ τριταίου γ′, ἐπὶ δὲ τεταρταίου τέσσαρα, καὶ περιαπτέον τραχήλῳ ἢ ἀγκῶνι.

2] Εἰσὶ δὲ καὶ ὠὰ ὠκυτόκια ὑποθυμιώμενα καὶ περιαπτόμενα. Τέλος δευτέρας κυρανίδος.

3. ὡς restitué par conjecture à la place d'un grattage. — In esca v. i.

4. δελφίνῳ A. Corr. conj.

14. κυρανὶς A.

ΚΥΡΑΝΙΣ ΤΡΙΤΗ

ΠΕΡΙ ΟΡΝΕΩΝ

ΣΤΟΙΧΕΙΟΝ Α.

<ΠΕΡΙ ΑΕΤΟΥ>

1] Ἀετὸς βασιλεὺς πάντων τῶν ὀρνέων (f. 91 r.) τῇ χροιᾷ μελανίζων · τούτου ὑπὸ τὸν αἰθέρα ἱπταμένου πᾶν πτηνὸν φρυάσσει.

2] Ἔχει δὲ μεγάλας πράξεις, καὶ ἄλλα τάχα ῥήγματα.

3] Ἀγρεύσας οὖν ἀετὸν ἐρωτικὸν καὶ φιλητὸν <ποιεῖ> τὸν φοροῦντα τὴν καρδίαν αὐτοῦ καὶ τὸ δέρμα τῆς κεφαλῆς καὶ τοὺς ὀφθαλμοὺς καὶ τὰ ἄκρα τῶν μεγάλων πτερύγων · καὶ ταῦτα φορῶν εἰς φυλακτήριον εἰρηνικὸν καὶ φιλητὸν καὶ ἐρωτικὸν ποιεῖ τὸν φοροῦντα · κἂν ἐν μέσῳ πολεμίων ἐμπέσῃ, οὐ μὲν ἀδικηθῇ, οὐδὲ ἀπὸ χειμῶνος ἢ κεραυνοῦ βλαβήσεται, ἀλλ' ἔσται ἐν πᾶσι χαριέντης καὶ ἡσύχιος. Δεῖ δὲ αὐτὴν ἐν τῷ ἰδίῳ δέρματι φορεῖν συρραφεῖσαν ἐν χρυσῷ σωληναρίῳ αὐτὴν ἐμβαλεῖν.

4] <Ἐ>ὰν δέ τις ἁλιεὺς ἢ κυνηγὸς βαστάζῃ τὴν κοιλίαν (f. 91 v.) ἢ τὴν κεφαλὴν ἢ τὰ ἄκρα τῶν πτερῶν, οὐδέποτε ἀστοχήσει τῆς ἄγρας ἢ τοῦ κυνηγίου.

5] Ἐσθιόμενον δὲ τὸν στρουθίον ὀπτὸν σὺν τοῖς πτεροῖς δαιμονιῶντας ἰᾶται. Ἐν οἴκῳ δὲ κείμενον μάχας στρέφει.

---

1. Après τρίτη] Θεὸς ὁ βοηθῶν A. — Titre dans I : Κυρανίδος βιβλίον γ^ον^ περὶ τῆς τῶν πετεινῶν δυνάμεως.

5. A, mg. inf. des ff. 90 et 91 : Ἀγρεύσας οὖν ἔασον νυχθήμερον ζῶντα, ἧτα (l. εἶτα) ἑξῆς προδείσας (?) (f. l. περιδήσας) τὸν ἀετὸν καὶ τὸ στόμα αὐτοῦ καὶ λέγε εἰς τὸ οὖς αὐτοῦ. « Ἀετὲ φύλ (l. φίλε) τοῦ ἀνθρώπου νῦν θύω σαι (l. σε) πρὸς πάντα (l. πᾶσαν) θεραπείαν ἐν ᾗ προσφέρῃ ». Καὶ λαβὼν ξίφος ὁλοσίδηρον καὶ θυμιῶν, « ὦ τοῦ θαύματος » λέγε.

7. Le v. i. ne traduit pas καὶ ἄλλα τὰ ῥ.

11. ἀδικηθεῖ A. F. l. ἀδικηθήσεται.

18. F. l. ἀποστρέφει.

RÉDACTION ET ADDITIONS DU VIEIL INTERPRÈTE LATIN

Correspondant aux §§ 3, 4, 5 et à la note marginale.

Capias ergo aquilam, et dimitte eam die ac nocte una vivere, et fimum, quem interea projicit sumas colligens, deinde ligans pedes ejus et os obstruens, dic in aure aquilae : « O aquila amica hominis nunc macto te ad omnis infirmitatis curationem, conjuro te per Deum coeli et terrae, et per quatuor elementa, ut efficaciam habeas ad unamquamque curationem, ad quam oblata fueris ! Posthaec accipe gladium totum ferreum subfumigans storace et melle ; tunc suppone craterem, abscinde caput ejus super cratere, ut totus sanguis in craterem defluat. Moxque adhuc ea reptante scinde eam et extrahe cor ejus simul cum omnibus visceribus, et repone in vase aliquo, in quo sit vinum odoriferum ad bibendum. Caput autem repone cum sale multo : oculos tamen extrahe et cerebrum seorsum : viscera vero omnia extrahe de vino, smyrniza cum sale, et sicca in sole et sanguinem, et sicca et mitte in vas. Depila autem aquilam, et magnas pennas coxarum serva. Accipies ergo nervos de coxis ; signa qui sunt dextri, et qui sinistri. Sic quoque facias de pennis quae sunt de alis. Carnes autem omnes fac olentes cum aromatibus multis smyrnizans ; sicut et interiora et desicca. Omnia sint tibi separatim et superscripta.

Ad cephalalgiam quoddam magnum miraculum : Os verticis capitis aquilae ligatum patienti in corio cum vino verticem sanat. — Tempora vero aquilae hemicraniam curant.

Cerebrum quoque illius cum oleo et modica cedria inunctum scotomaticos et omnem capitis dispositionem sanat.

Ad gratiam et fortunam : dexter ejus oculus in panno mundo ligatus, et in sinistra manu retentus in collocutionibus magnorum gratiam et amicitiam parabit.

Sinister autem ejus oculus circumpensus in corio cervino nunquam sinit ophthalmiam pati gestantem.

Supra oculos aquilae in superciliis inveniuntur duo lapides, unus in unoquoque supercilio, qui ligati in pelle, sive in corio lupi, vel phocae, vel hyaenae, seu aquilae, et ad collum gestati conservant portantem ab omni iniquitate et nocumento ferarum, et insidiis daemonum ac hominum, omneque bonum affert.

Lingua autem ejus appensa in panno lineo arthriticos, et κιονίδας, et tussientem et dissiniam(?) magnifice sanat.

Epar autem ejus siccum et tritum cum proprio sanguine et oxymelle per dies x bibitum epilepticos sanat.

Fel autem cum succo prassii inunctum, cum myrrha quoque et melle sine fimo, omnem obscuritatem et hebetudinem tollit, et non sinit malum in oculis fieri.

Ad omnem prosperitatem : Cor autem ejus, ut dictum est, datum in vino et melle et aromatibus smyrnizatum per dies vii, deinde in corio lupi sutum et portatum in nullum malum incidet vel infirmitatem aut feram, sed prosper ac beatus et dives fiet.

Ad amorem : Renunculi et testiculi sicci infusi et superspersi condito, et in potu vel cibo dati, in concupiscentiam et amorem magnum ducunt bibentem, sive mas sit, seu foemina.

Dextrae autem alae penna retenta divitem et amabilem faciet gerentem.

Sinistrae vero alae pennam si tenuerit, et in oleo tinxerit, et a loco tenante (?) usque ad sacram spinam mulierem in partu laborantem unxerit, illico pariet.

Fimus autem ejus suffumigatus siccus in partu laborantes adjuvat mulieres, et corruptos foetus educit, et secundinam extrahit.

Nervi quoque ejus colli et dorsi ad collum et spondyli ligati, dexter dextro, sinister sinistro lateri, chiragricis prosunt.

Similiter et nervi pedum podagram pedum et genuum dolorem sanant.

Ungulae autem ejus a pueris et perfectis gestatae, ab omni malo ac phantasmate iniquo, ac ab omni nocumento liberant portantem.

Pellis autem curata ac diligenter habita cum pennis suis reservata, posita pro fascia quoque ventri et stomacho, colicos magnifice adjuvat, et stomachicos, et eos, qui colicam stomachicam patiuntur liberat, et digestionem facit; dat etiam oraculum in somnis de hujus modi, quae futurae sunt, rebus.

Si quis autem vadens dormitum, os vel rostrum aquilae ad caput ponat, videbit in somnis quod voluerit.

Tot quot diximus de aquila. Si vero non potes invenire aquilam, cape

2. Tussientem et dissiniam] note de Rhyakinus (Rivinus), à la suite du livre IV : Lege *tussim* et dyspnoean. Nam et Galenus in Eupor. l. III, c. xxxvii [t. X, p. 642 ed. Chart.] eadem docuit : Quod aquilae lingua collo e panno lineo suspensa summopere ad arteriae asperae columellae que vitia, et ad spiritus difficultatem et tussim faciat.

vulturem, simili modo agens; nam eadem potest, sed non ita intense. Habet autem vultur proprias virtutes et efficacias.

Si vero et vulturem non habes, accipiter replet utilitatem, etsi minus efficaciter. Unumquodque habet proprias virtutes; aquila vero major omnibus existens majora potest, et haec ei propria est virtus. Aquilae autem pennam vel alam si quis ponat sub pedibus mulieri in partu laboranti, mox pariet; mox autem ut peperit, tolle pennam.

Aetites autem lapis, qui ad tactum de intus sonat, rubens est colore et ut (al. *in*) cera, gestatus servat in alvo foetus et non sinit abortivos fieri : est enim velocis partus.

< ΠΕΡΙ ΑΡΠΗΣ >

Ἅρπη avis est raptrix, similis vulturi, minor quidem et rubicundior.

Hujus venter siccus et tritus cum polenta vel farinata acceptus, dysuriam sanat, lapidem vesicae frangit, εἰλεόν et χόρδαξον [l. χόρδαψον] lumborum sanat.

Digestionem enim summam operatur avis venter esus et gestatus.

< ΠΕΡΙ ΑΛΕΚΤΟΡΟΣ >

Ἀλέκτωρ, i. gallus omnibus notus. Ἀλέκτορος ventris jus bibitum solvit ventrem.

Sanguis autem ejus erysipelata et χίμετλα sanat, et eos, qui marinum leporem comederint.

Si quis autem praegustaverit allium et biberit calidum sanguinem cum vino, nullum reptilem timebit.

Cum pultibus vero conspersus et datus ad magnitudinem nucis veluti per dies x comedere iis, qui sursum deducunt sanguinem, prodest.

Fel quoque ejus cum succo chelidoneae herbae et melle illitum, visum acuit perfecte.

Fimus autem ejus cum aceto cataplasmatus a feris rabidis morsus et ulcera sanat : maturat autem et δοθιῆνας cum aceto impositus.

Cerebrum autem ejus cum aceto bibitum, nec cum aceto, sed cum condito serpentis bibitum, morsos serpentis morsus [l. morsu] adjuvat.

16. Enim]. Le ms. grec du v. i. portait sans doute γὰρ, mais δὲ doit être la vraie leçon.

24. veluti] traduction probable du grec ὡσεί, circa.

Testiculi ejus cum vino bibiti Venerem irritant et bonam habitudinem praestant.

Ventriculi autem interior pellicula cornea, quam vocant ἐχῖνον alii sifukion, in vino missa et siccata ac trita cum sale, potata cum vino, vel condito, nephriticos perfecte sanat.

Crista autem capitis galli cum grano uno libani, et paululum cornu cervini gestata, avertit omnem timorem nocturnum et omnem occursum malum, et sine timore facit portantem.

Stercus autem ejus bibitum cum bono vino suffocationes affugeris (l. a frigidis) factas mirabiliter sanat.

< ΠΕΡΙ ΑΗΔΟΝΟΣ >

(Voir le texte grec, lettre E, περὶ ἐδόνος.)

< ΠΕΡΙ ΑΛΚΥΟΝΟΣ >

Ἀλκυών volucris est speciosa valde, sublazura, vel subviridis, vario colore, in littoribus degens maris : haec in labio maris parit, et cum parit ova, fit magna tranquillitas in mari, ne penitus frangatur vel inundet mare ; nam circa labium maris gignit, ubi frangitur vel inundat mare. Comedit autem parvos pisciculos. Postquam ergo compleverit nidum, et pulli sui evolaverint, rursum mare solito more fluctuat.

Hujus avis oculos si quis in panno ligaverit, et ad caput nimium dormientis posuerit, abjiciet ab illo somnum.

Si quis portaverit ejus oculos navigans in mari, non timebit tempestatem, aut hyemem aut qualemcumque necessitatem. Gubernator quoque, si gestaverit eos, secrete et absque hyemis afflictione gubernabit scapham.

Cor autem ejus gestatum formosum et amatum ac diligendum, omnibusque pacificum faciet portantem; etsi in medio inimicorum ceciderit, non nocebit ei, et nec ab hyeme, nec a fulgure laedetur, sed erit in omnibus gratiosus et quietus. Oportet autem ipsum ponere in propria pelle sua et consui, et in aureo calamo mitti.

Si autem piscator portaverit ventrem, aut caput vel pennas, nunquam erit fraudatus piscator.

Assata vero tota avis cum pennis suis et comesta daemoniacos sedat. In domo autem sita seditiones et lites avertit.

Αἴθυια, etc.

ΠΕΡΙ ΑΙΘΥΙΑΣ

6] Αἴθυια, πτηνὸν θαλάσσιον ἀκόρεστον, πᾶσι γνωστόν. Τούτῳ ἐὰν ὑπαντήσῃ πλοῖον ἁρμενίζον, καὶ πτερυξάμενος δύνει εἰς τὴν θάλασσαν, προσημαίνει κίνδυνον τῷ πλοίῳ· ἐὰν δὲ ἐπιπτερυχθῇ ἢ ἐπὶ πέτραν στῇ, εὔπλοιαν προδηλοῖ.

7] Ταύτης τὸ αἷμα ἀντιφάρμακόν ἐστι πρὸς ἰοβόλα θηρία.

8] Ἡ δὲ γαστὴρ ξηρὰ πινομένη εἴτε φορουμένη πέψιν εἰς ἄκρον καὶ εὐστομαχίαν παρέχει.

9] Ἡ δὲ χολὴ σὺν κεδρίᾳ ἐπιχρισθεῖσα τὰς προεκτιλείσας τῶν βλεφάρων (f. 92 r.) τρίχας οὐκ ἐᾷ ἀναφυῆναι.

10] Ὅλη δὲ αἴθυια ταριχευθεῖσα καὶ ἐσθιομένη ἐλεφαντίασιν ἰᾶται. Τὰ αὐτὰ δύναται καὶ πρὸς σπλῆνα.

11] Τὰ δὲ ᾠὰ αὐτῆς δυσουρίαν καὶ νεφροὺς καὶ στόμαχον ἰᾶται.

ΣΤΟΙΧΕΙΟΝ Β.

ΠΕΡΙ ΒΟΥΦΟΥ

1] Βοῦφον λέγουσιν τινὲς ὄρνεον φιλάγρυπνον· ἡμέρας μὲν μὴ φαινόμενος, νυκτὸς δὲ πέμπει φωνὰς μεγάλας καὶ βοάς.

2] Τούτου ὁ ὄνυξ εὔστοχός ἐστι καὶ φυλακτικὸς περιαφθεὶς ἀνθρώποις ἐν πάσαις συκοφαντίαις καὶ πρὸς τοὺς προερχομένους εἰς λάφυρα καὶ τοὺς ψευδομένους νικῶσιν.

ΣΤΟΙΧΕΙΟΝ Γ.

ΠΕΡΙ ΓΥΠΟΣ

1] Γὺψ μέγιστον ὄρνεον καὶ πολύχρηστον, πᾶσι γνωστόν. Τοῦ μὲν νεοσσοῦ τοῦ γυπὸς ἡ χρῆσίς ἐστιν αὕτη· ὀστᾶ ἐκ τῆς (f. 92 v.) κεφαλῆς αὐτοῦ περιαφθέντα ἐν μίτῳ πορφυρῷ περὶ τὸν ἀγκῶνα κεφαλαλγίαν ἰᾶται καὶ χρονίαν σκότωσιν κεφαλῆς.

2] Ὁ δὲ ἐγκέφαλος αὐτοῦ λειωθεὶς σὺν κεδρίᾳ καὶ ἐλαίῳ παλαιῷ καὶ περιχρισθεὶς τοῖς κροτάφοις πᾶσαν κεφαλαλγίαν ἰᾶται καὶ κάρον.

3] Ἡ δὲ χολὴ μετὰ μέλιτος καὶ χυλοῦ πρασίου ὑπόχυσιν θεραπεύει.

4] Τὸ δὲ στέαρ μιχθὲν σὺν χοιρείῳ στέατι βοηθεῖ ἀρθριτικοῖς, τρομώδεσιν καὶ ψυγμένοις, ποδαγροῖς, στομαχικοῖς καὶ παραλυτικοῖς, τοῖς ἀπὸ κενώσεως σπωμένοις.

2. Αἴθυα, alias αἰθυία, A.
4. τὸ πλοῖον A. Corr. conj.
29. F. l. ἐψυγμένοις.

5] Εἶτα ἡ καρδία αὐτοῦ ἐν δέρματι δεθεῖσα πᾶσαν αἱμορραγίαν ἵστησι. Φεύξεται πᾶς δαίμων τὸν φοροῦντα καὶ λησταὶ καὶ θηρία· ἕξει δὲ (f. 93 r.) χάριν πρὸς πάντας ἀνθρώπους καὶ πάσας γυναῖκας· καὶ ἐν εὐπορίᾳ βιώσει· ἔσται δὲ νικητικὸς εἰς πᾶν πρᾶγμα.

6] Τοῦ δὲ μεγάλου γυπὸς ἡ καρδία ἑψηθεῖσα καὶ δοθεῖσα ἐν βρώματι λάθρα ἢ ξηρὰ ἐν πότῳ δοθεῖσα γυναιξὶν μεγάλην καὶ φιλίαν καὶ πόθον ἐρωτικὸν αὐταῖς ἐμποιεῖ.

7] Οἱ δὲ πόδες αὐτοῦ βασταζόμενοι πρὸς εὐτυχίαν λόγων καὶ ἐπίτευξιν πραγμάτων καὶ σιγὴν ἐχθρῶν καὶ νίκην ἀντιδίκων ἄκρως καὶ παραδόξως ποιοῦσι.

8] Οἱ δὲ ὄνυχες αὐτοῦ καέντες καὶ λειωθέντες σὺν οἴνῳ παλαιῷ καὶ συγχριόμενοι τὸ σῶμα ὅλον καὶ πινόμενοι πρὸς νίκην ἐχθρῶν ποιοῦσι.

9] Τὸ δὲ στόμα αὐτοῦ σὺν τῇ γλώσσῃ αὐτοῦ φορούμενον ποιεῖ πρὸς ὁδοιποιρίας νυκτερινάς· (f. 93 v.) ἀπελαύνει γὰρ δαίμονας καὶ θηρία καὶ πᾶν ἑρπετὸν καὶ πᾶν κακόν, καὶ ἁπλῶς εἰπεῖν πᾶσαν νίκην καὶ χρημάτων εὐπορίαν παρέχει καὶ λόγων εὐτυχίαν, καὶ αἰτίας εὐλογοῦσα, καὶ δόξαν καὶ τιμὴν τῷ φοροῦντι προξενεῖ.

10] Φόρει οὖν σὺν τῇ γλώσσῃ καὶ τοὺς ὀφθαλμοὺς τῷ σώματι ἁγνὸς ὤν.

11] Ἐὰν δὲ γυνὴ τὸν μυελὸν τοῦ ὀρνέου τήξῃ καὶ ἀλείψηται τὴν κοιλίαν αὐτῆς ἐπὶ ἡμέρας ἑπτά, ἀλείψῃ δὲ καὶ τοῦ ἰδίου ἀνδρὸς αὐτῆς, οὐ συλλήψεται οὐδ' ὅλως.

12] Τὰ δὲ ὀστέα αὐτοῦ καέντα καὶ λειωθέντα ἔχε ξήριον· ἰᾶται γὰρ παντοῖον ἕλκος ἐπιπασσόμενον· καὶ ὀδονταλγίαν ὠφελεῖ σὺν οἴνῳ πινόμενον καὶ κλυζόμενον.

13] Ἡ δὲ χολὴ σὺν χυλῷ πρασίου καὶ ὀποβαλσάμῳ καὶ (f. 94 r.) μέλιτι λειωθεῖσα πᾶσαν ἀμαύρωσιν καὶ ἀχλὺν καὶ ὑπόχυσιν ἰᾶται ἄκρως.

14] Τὰ δὲ πτερὰ αὐτοῦ θυμιώμενα λήθαργον καὶ ὑστερικὴν πνῖγα καὶ φρενιτικοὺς θεραπεύει.

15] Ὅσα δὲ ποιεῖ ὁ ἀετός, τοσαῦτα καὶ ὁ γὺψ ποιεῖ, ἀλλ' εἰ καὶ τοῦ γυπὸς τὰς πλείστας χρείας κατελείψαμεν κατὰ πάντα ὡς τοῦ ἀετοῦ, χρή σε καὶ ἐπὶ τούτου ποιεῖν.

ΣΤΟΙΧΕΙΟΝ Δ.

ΠΕΡΙ ΔΡΥΟΚΟΛΑΠΤΟΥ

1] Δρυοκολάπτης, οἱ δὲ δενδροκολάπτην στρουθίον ἰσχυρόστομον, ὅπερ, ὅταν τίκτῃ, ὑπὸ κενεῶνα δρυὸς τίκτει. Ἐὰν οὖν τις μετὰ λιθίου ἀναφράξῃ τὴν νοσσίαν αὐτοῦ ὡς θέλει, ἢ μετὰ ξύλου ἢ μετὰ πετάλου σιδηροῦ καὶ ἀναχωρήσῃ, ἔρχεται

1. Après ἵστησι] Addition du v. i. : Haec quidem de pullis vulturum.
15. εὐλογοῦσα A. F. l. εὐλογούσας. (Mot non trad. par le v. i.) — τὸν φοροῦντα A ; portanti v. i.
21. πρασίῳ A; prassii v. i.
30. Δενδροκολάπτης v. i.

ὁ δρυοκολάπτης καὶ φέρει βοτάνην ἥντινα γινώσκει, καὶ προστιθεὶς (f. 94 v.) ἀνοίξει πάντα κλεῖθρα.

2] Οἱ δὲ ὀφθαλμοὶ τούτου φορούμενοι ὀξυωπίαν παρέχουσιν.

3] Τὸ δὲ στόμα αὐτοῦ περιαφθὲν τραχήλῳ πᾶσαν ὀδονταλγίαν καὶ σταφυλῆς πόνον καὶ ἀντιάδα καὶ συναγχίας ἰᾶται παραυτίκα · ἐσθιόμενον δὲ ἑφθὸν ὑγίειαν ταχεῖαν τοῖς νοσοῦσιν ἐπιφέρει καὶ τοὺς ἐκ φαρμακείας <ἢ> μαγγανείας περιδεδεμένους ἰᾶται καὶ εὐεξίαν παρέχει θαυμαστήν.

ΣΤΟΙΧΕΙΟΝ Ε.

ΠΕΡΙ ΕΡΩΔΙΟΥ

1] Ἐρώδιός ἐστιν ὄρνεον ἐν βωμοῖς ἢ κτίσμασιν τοῖς ἐν πόλεσι σκηνοποιοῦν ὡς χελιδών, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀκρόπτερα ὡς βασίλειον ἐπιμηκέστατον ὡσεὶ δακτύλων γ'.

2] Τούτου τὸ ῥάμφος μετὰ καρκίνου χολῆς ἐν δέρματι ὀνείῳ (f. 95 r.) εἰ περιάψεις τοῖς ἀγρυπνοῦσιν, ὑπνῶσαι ποιήσεις.

3] Εἰ δέ τις ἐν συμποσίῳ κατθῆ τὸ ῥάκος ἐν ᾧ ἔστι τὸ ῥάμφος εἰς τὸν οἶνον, οἱ πιόντες ἀποκοιμηθήσονται ὡς πολλῶν ἡμερῶν ἀγρύπνων ὑπάρχοντες.

ΠΕΡΙ ΕΔΩΝΟΣ

4] Ἐδὼν στρουθίον ἐστὶν γνώριμον · τοῦτο ἐν ἀρχῇ ἔαρος οὐδέποτε παύεται κατᾷδον νυκτὸς καὶ ἡμέρας, καὶ ᾄδων λιγυρὴ τὴν φωνὴν καὶ τὸ ὄνομα ἔσχεν διὰ τὸ ἀεὶ ᾄδειν.

5] Τούτου τὴν καρδίαν σπαράττουσαν ἐάν τις μετὰ μέλιτος πίῃ, ἄλλην δὲ καρδίαν σὺν τῇ γλώσσῃ φορῇ, ἔσται εὔλαλος καὶ λιγύφωνος καὶ ἡδέως ἀκουόμενος.

6] Εἰ δέ τις τοὺς ὀφθαλμοὺς αὐτοῦ περιάψῃ ὁ φορῶν (?) οὐδὲ κοιμήσεως παύει ἕως ἂν αὐτοὺς βαστάζῃ.

7] Ἡ δὲ χολὴ σὺν μέλιτι χριομένη ὀξυωπίαν παρέχει.

2. Cp. livre Ier, lettre Δ, § 12.
6. τοῖς... περιδεδεμένοις A; ligatos v. i. — ἢ addidi e conj. — φαρμακείας non traduit par le v. i.
10. ὡς χελιδὼν] καὶ φελδὸν A; et habitans v. i. Correxi (καὶ pour ὡς par confusion paléographique).
15. καθῇ A; deponat v. i. — ῥάφος A; ramfum i. ungulam v. i.
17. ἐδῶνος, ἐδών pour ἀηδόνος, ἀηδών. Cet article a été placé par le v. i. à son rang alphabétique. (Voir plus haut.) Il a été écrit dans A à la marge et avec une encre très pâle, mais de première main.

ΣΤΟΙΧΕΙΟΝ Ζ.

ΠΕΡΙ ΖΗΝΗΣ

1] Ζήνη ἐστὶ στρουθίον τοῦ θεοῦ Διὸς ἔχον ἐν τῇ κεφαλῇ πτερὰ ἐρυθρὰ καὶ χρυσοειδῆ ἐν ταῖς πτέρυξι καὶ ἁπλῶς ὅλος ἐστὶ πεποικιλμένος χροιαῖς. Τοῦτον καλοῦσιν ἀστραγαλῖνόν τινες (?).

2] Τοῦτο ὀπτὸν βρωθὲν κοιλιακοὺς καὶ κωλικοὺς ὀνήσει καλῶς, ὃ καὶ τοὺς τὴν φωνὴν αὐτοῦ ἀκούοντας φρονίμους ποιεῖ.

ΣΤΟΙΧΕΙΟΝ Η.

ΠΕΡΙ ΗΛΙΟΔΡΟΜΟΥ

1] Ἡλιοδρόμος ἐστὶ πετηνὸν ἰνδικὸν ὅπερ ἅμα γεννηθῇ ἀνίπταται πρὸς τὴν ἀνατολὴν (f. 95 v.) τοῦ ἡλίου · ἅμα δὲ τραπῇ ὁ ἥλιος, αὖθις πρὸς δυσμάς. Οὐ ζῇ δὲ πλέον ἐνιαυτοῦ, ἀλλὰ τεκνογονεῖ ἀρρενοθέλη. Τοῦτο δὲ ἔχει χάριν · ἐὰν γάρ τις αὐτὸ ἀναπτύξῃ καὶ τὰ ἐντὸς φορῇ σμυρνίσας, πλουσιώτατος γίνεται · βρωθεὶς δὲ ὑγιείαν παρέχει καὶ οὐ νοσείη τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ ὁ ἄνθρωπος καὶ σφόδρα πλουτεῖ τοῦτο φορῶν.

ΣΤΟΙΧΕΙΟΝ Θ.

ΠΕΡΙ ΘΩΠΕΙΟΥ

1] Θωπεῖον ὄρνεόν ἐστι νυκτερινόν · τούτου οἱ ὀφθαλμοὶ καὶ ἡ καρδία φορουμένη ἄφοβον τὰς νύκτας ποιεῖ τὸν φοροῦντα καὶ ἀβλαβῆ εἰς τοὺς ὀφθαλμούς · ἐσθιομένη δὲ εὐεξίαν παρέχει καὶ εὐστομαχίαν.

ΣΤΟΙΧΕΙΟΝ Ι.

ΠΕΡΙ ΙΕΡΑΚΟΣ

1] Ἱέραξ δύναται ὅσα καὶ ὁ γύψ, ἔλασσον δέ · τὸ ἀφόδευμα αὐτοῦ μετὰ γλυκέως πινόμενον ὠκυτόκιόν ἐστιν ἐπὶ πλεῖστον ποθέν.

5. τινες] mot presque effacé.
6. ὀνίσι A. Correxi.

17. A mg. : Τοῦτο ἐν Ῥόδῳ τῇ νήσῳ καὶ ἐν τῇ Κύπρῳ πλεῖστκϊετάτε (f. l. πλεῖστα διαιτᾶται).
23. ἀμφόδευμα A : fimus v. i.

(F. 96 r.) 2] Ζῶν δὲ μαδισθεὶς καὶ συνεψηθεὶς σὺν ἐλαίῳ σουσίνῳ ἄχρι τακῇ καὶ διηθουμένου τοῦ ἐλαίου ὅντινα χρίσεις, ἐξ αὐτοῦ πᾶσαν ἀχλὺν καὶ ἀμβλυωπίαν ἰάσει.

3] Τὸ δὲ πετηνὸν ὀπτὸν ἐσθιόμενον ἱερὰν νόσον ἰᾶται.

4] Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ περιαπτόμενοι τριταῖον παύουσιν.

5] Ἡ δὲ καρδία φορουμένη πρὸς πάντα διατηρεῖ ἀβλαβῆ τὸν φοροῦντα.

ΣΤΟΙΧΕΙΟΝ Κ.

ΠΕΡΙ ΚΟΡΑΚΟΣ

1] Κόραξ πᾶσι γνωστόν. Οὗτος ἀγρευθεὶς καὶ ζῶν χωσθεὶς ἐν κόπρῳ ἱππείᾳ καὶ σαπεὶς ἐπὶ ἡμέρας μ΄, εἶ<τα> καυσθεὶς καὶ γενόμενος κηρωτὴ ποδαγροὺς θεραπεύει λίαν.

2] Ἡ δὲ κόπρος αὐτοῦ ὑποθυμιωμένη ἀλφοὺς λευκοὺς καὶ λεύκην ἰᾶται.

3] Τὰ δὲ ᾠὰ αὐτοῦ μελαίνουσιν πολιὰς τρίχας.

(F. 96 v.) ΠΕΡΙ ΚΟΡΩΝΗΣ ΤΗΣ ΚΑΡΔΙΔΟΝΗΣ (?)

4] Κορώνης καρδία φορουμένη ὁμόνοιαν εἰς τὸ ἀνδρόγυνον παρέχει.

. . . .

5] Τὰ δὲ ἐντὸς αὐτῆς ὀπτὰ ἐὰν δῷς γυναικὶ λάθρα, πάνυ σὲ ἀγαπήσει.

6] Ὁ δὲ ἐγκέφαλος αὐτοῦ σὺν μέλιτι ἐὰν περιχρίσῃς τῷ αἰδοίῳ καὶ συγγένῃ γυναικί, πάνυ σὲ ἀγαπήσει καὶ οὐδενὶ ἑτέρῳ κολληθήσεται πλήν σου.

. . . .

7] Τὸ δὲ αἷμα ξηρὸν ὅσον κοχλιαρίων δύο <εἰ> συγκεράσεις οἴνῳ, ποθὲν ὑδρωπικοὺς ἄκρως ἰᾶται.

8] Κορώνην λαβὼν ἀσινῆ, ἐάν τις ἀλγῇ, τοῦ ποδὸς τὸν ὀπίσω δάκτυλον τοῦ δεξιοῦ ἀπότεμε ἀπὸ τοῦ ἄρθρου πλησίον ὑπὸ ποδὸς ἀφθόρου δήσας γαιτάκην (?) περίαπτε. τὴν δὲ κορώνην μύρῳ τερεβινθίνῳ ἀλείψας ἢ ἐλαίῳ χρίσας ὅλην ἀπόλυε ζῶσαν πέτασθαι. Τὸν δὲ δάκτυλον αὐτῆς περίαπτε τῷ πάσχοντι ποδίῳ · ἐὰν δὲ τοῦ

12. λευκὴν A ; albam lepram v. i.
16. Addition du v. i. : Habens uxorem si portaverit cor cornicis faemina insciens super se et faemina bene sciens portans se cor masculi, erit amor inseparabilis inter eos.
18. Ὁ... ἐγκέφαλος] Lire Τὸν... ἐγκέφαλον.
20 Addition du v. i. : Fimus ejus cum vino bibitus disiniam (dyspnoean) sanat.
21. εἰ addidi e conj.
23. ἀλγῇ] F. l. ποδαλγῇ. Si tibi pes dolet v. i.
24. ποδὸς] παιδὸς A. Réd. du v. i. :...juxta crus proprium incorruptum ligans filum suspende.
26. ποδίῳ] παιδίῳ A. pedi v. i.

ἀριστεροῦ ποδός, (f. 97 r.) τὸ ἀριστερόν, ἐὰν δὲ τὸ δεξιόν, τοῦ δεξιοῦ. Μὴ οὖν λουέσθω, μηδὲ χαμαὶ πέσῃ τὸ περιάπτον, ἀλλὰ ἐνδήσας δέρματι ἐλαφείῳ φόρει. Ὅτε δὲ κόπτεις, λέγε · « Αἴρω σου τὸν δάκτυλον πρὸς θεραπείαν ἰσχιάδος, ποδάγρας καὶ πάντων ἄρθρων ». Καὶ ἀλείψας ἀπόλυε.

ΠΕΡΙ ΚΙΣΣΑΣ

9] Κίσσα στρουθίον ἐστὶ φρόνιμον μιμούμενον ἀνθρόπου φωνήν.

10] Τούτου ἡ καρδία φορουμένη μετὰ κισσοῦ ῥίζης, καὶ σπώσας γυναῖκας παύει. Ὁμοίως δὲ θεραπεύει καὶ δυσουρίαν.

11] Ἔστι δὲ τὸ πτηνὸν πεποικιλμένον χροιαῖς καὶ ἐνάρετον ποιεῖ τὸν ἐσθίοντα.

ΠΕΡΙ ΚΟΣΣΥΦΟΥ

12] Κόσσυφός ἐστι στρουθίον ἡδύφωνον τῷ θέρει πολλὰ λαλοῦν, τῷ μὲν ὅλῳ πτερῷ (f. 97 v.) κατακόρως μέλας ὑπάρχων, μόνον δὲ τὸ στόμα χρυσοειδές.

13] Οὗτος ἐν ἐλαίῳ παλαιῷ καθεψηθεὶς ἕως τακῇ καὶ τῷ ἐλαίῳ ἀλειφόμενον, ὀπισθότονον διαλύει. Ὁμοίως δὲ καὶ ἰσχία θεραπεύει.

ΣΤΟΙΧΕΙΟΝ Λ.

ΠΕΡΙ ΛΑΡΟΥ

1] Λάρος πετηνὸν μέν ἐστι θαλάσσιον · τὰ αὐτὰ δύναται ἴσα τῷ ἀλκυόνι.

2] Τούτου τὴν καρδίαν κρατῶν εἴσελθε πρὸς δυστοκοῦσαν γυναῖκαν καὶ εὐθέως τέξεται, ἅμα δὲ τέξῃ, ἀναχώρει μὴ ἄλλο τι ῥίψῃ.

3] Ἡ δὲ γαστὴρ ξηρὰ πινομένη καὶ φορουμένη ἄκρον πέψιν ποιεῖ.

ΠΕΡΙ ΛΑΜΠΥΡΙΔΟΣ

4] Λαμπυρὶς σκώληξ ἐστὶ πτερωτὸς τῷ θέρει πτάμενος, καὶ λάμπει ὥσπερ ἀστὴρ τὴν νύκτα · ἔχει δὲ ἐν τῷ σφιγκτῆρι τὴν λαμπάδαν.

5] Ἐὰν οὖν αὐτὴν ἐνδήσῃ τις ἐν ἡμιόνου σκύτει, (f. 98 r.) καὶ περιάψῃ γυναικί, ἀσύλληπτόν ἐστιν ἀπαράβατον.

6] Εἰ δέ τις τὴν λαμπυρίδα βάλῃ εἰς ἔδαφος ὅπου εἰσὶν ψύλλοι, φεύξονται.

3. αἴρω] ἔρω A ; accipio v. i.
5. F. l. κίσσης.
23. δὲ] enim (sc. γὰρ) v. i., f. mel.
24. ἐν ἱμιόνου σκύτει A ; in matrice vulvae (f. l. mulae) v. i.

ΣΤΟΙΧΕΙΟΝ Μ.

ΠΕΡΙ ΜΕΡΟΠΟΣ

1] Μέροψ στρουθίον ἐστὶν ὁλοπράσιον · τὰ δὲ πτερὰ πορφυρᾶ, ὅν τινες γάγγραιναν ὀνομάζουσιν. Ἔστιν δὲ φρόνιμον καὶ πολλὰ ποιοῦν <ὡς> καὶ ἡ ἀλκυονίς. Τοῦτο ὅταν τέκῃ καὶ θέλῃ τις ἀγρεῦσαι τὰ νόσσια αὐτοῦ, μεταίρει αὐτὰ ἀπὸ τόπου εἰς τόπον · καὶ ὅταν σιτίζῃ αὐτά, εἰς πολλοὺς τόπους ἀπέρχεται, ἵνα μὴ νοηθῇ ποῦ αὐτὰ τρέφει.

2] Ταύτης ἡ καρδία ἐπὶ φίλτρα χρήσιμος, καὶ ἐσθιομένη καρδιακοὺς ὠφέλει, καὶ ἰκτερικοὺς καὶ στομαχικούς.

3] Μέροψ δὲ ἐκλήθη (f. 98 v.) διὰ τὸ εὐθὺς ἔχειν μετὰ τὸν ἄνθρωπον καὶ φιλίαν εἰς αὐτὸν τίθεσθαι.

4] Ἡ δὲ χολὴ αὐτοῦ μετὰ μέλιτος καὶ χυλοῦ πηγάνου ὑπόχυσιν ἰᾶται.

ΠΕΡΙ ΜΕΛΙΣΣΩΝ, ΣΤΡΟΥΘΙΩΝ ΤΩΝ ΜΕΛΑΓΚΟΡΥΦΩΝ

5] Μελισσός, στρουθίον ᾄδον καλῶς τῷ θέρει. Οὗτος καεὶς καὶ σὺν μέλιτι λειωθεὶς καὶ χρισθεὶς μελικηρίδας, στεατώματα θεραπεύει · ὀπτὸς δὲ ἐσθιόμενος δυσεντερικοὺς ἰᾶται.

ΣΤΟΙΧΕΙΟΝ Ν.

ΠΕΡΙ ΝΗΣΣΗΣ

1] Νησσάριν ποτάμιον καὶ λιμναῖον πᾶσιν γνωστὸν ὄρνεον.

2] Ταύτης τὸ αἷμα θερμὸν ἢ ξηρὸν ἐν οἴνῳ ποθὲν τοὺς πιόντας τοὺς ὑπὸ δηλητηρίων [δηχθέντας] καὶ τοὺς ἀπὸ ἐχίδνης δηχθέντας διασώζει καὶ παρέχει δύναμιν καὶ ὑγιείαν.

ΣΤΟΙΧΕΙΟΝ Ξ.

ΠΕΡΙ ΞΟΥΘΡΟΥ

1] Ξοῦθρος, οἱ δὲ στροῦθον ἢ πυργίτην ἢ τρωγλίτην (f. 99 r.) τοῦτον καλοῦσιν.

5. μετέρει A ; mutat v. i.
6. Réd. du v. i. : Ipsa quoque, cum videt eum qui quaerit pullos suos, hinc inde sese frequenter transmutat, etc.
14. Μελικὸς v. i.
21. F. l. ὑπὸ ἐχίδνης.
25. στρογλίτην A. Corr. v. i.

2] Τούτου ἡ ἄφοδος σὺν οἴνῳ πινομένη ἔντασιν μεγίστην ποιεῖ.

3] Μετὰ στέατος δὲ ὑείου χρισθεὶς ἀλωπεκίας δασύνει...

4] Ὀπτὸς δὲ βρωθεὶς ἡδονὴν ἀνθρώποις ἐμποιεῖ.

ΣΤΟΙΧΕΙΟΝ Ο.

ΠΕΡΙ ΟΡΝΙΘΟΣ

1] Ὄρνιθος κατοικιδίου ὁ ἐγκέφαλος περιτριβόμενος ὠφελεῖ ὀδοντοφυοῦσι παιδίοις.

2] Οἴνῳ δὲ ποθεὶς σκορπιοπλήκτοις ἀρήγει.

3] Ἡ δὲ καρδία αὐτῆς ἔτι σπαίρουσα περιαφθεῖσα μηρῷ ὠκυτόκιόν ἐστιν ἄριστον.

4] Τὸ δὲ ἧπαρ αὐτῆς λειούμενον καὶ ἐπιπλασσόμενον σὺν κριθίνῳ ἀλεύρῳ καὶ ὕδατι ποδαγροὺς ὠφελεῖ.

5] Τὸ δὲ στέαρ σὺν νάρδῳ τακὲν εἰς ὠταλγίας χρήσιμον, καὶ εἰς γυναίκεια πεσσὰ καὶ εἰς νευρικὰς συμπαθείας ὠφελεῖ.

6] Οἱ δὲ (f. 99 v.) νεοσσοὶ ἀποσχιζόμενοι καὶ ἐπιτιθέμενοι θερμοὶ τοῖς ἰοβόλοις ἕλκεσιν ἕλκουσιν πάντα τὸν ἰόν. Δεῖ δὲ συνεχῶς ἀλλάσσειν ἄχρις οὗ οὐκέτι χλιαροὶ οὐ γίνωνται · ἔπειτα φύλλα ἐλαίας χλωρὰ κόψας σὺν ἐλαίῳ καὶ ἅλσὶν ἐπιτιθέναι τοῖς ἕλκεσιν.

7] Ἡ δὲ κόπρος τῶν ὀρνίθων πρόσφατος περιχριομένη χείμετλα καὶ παρατρίμματα ἐξ ὑποδημάτων ἰᾶται · αἴρει δὲ καὶ μυρμηκίας · ποθεῖσα εἰς εὔκρας τοῖς μύκητας φαγοῦσι βοηθεῖ. Ξηρὰ δὲ λεία σὺν νίτρῳ καὶ ξηρῷ μύρῳ ἀλωπεκίας δασύνει ταχέως.

ΠΕΡΙ ΟΡΤΥΓΟΣ

8] Ὄρτυξ ὁ πᾶσι γνωστός · τούτου οἱ ὀφθαλμοὶ περιαπτόμενοι ὀφθαλμίαν ἰῶνται καὶ τριταῖον καὶ τεταρταῖον.

9] Ὁ δὲ ζωμὸς αὐτοῦ κοιλίαν μαλάσσει · ἐσθιόμενος (f. 100 r.) δὲ νεφροὺς θεραπεύει.

ΣΤΟΙΧΕΙΟΝ Π.

ΠΕΡΙ ΠΕΛΑΡΓΟΥ

1] Πελαργὸς πτηνόν ἐστι κάλλιστον · ἡνίκα γὰρ ἔλθῃ τὸ ἔαρ, ἀφίπτανται πάντες

2. Et carbunculos frangit add. v. i.
11. νάρδῳ] ἄρδω A ; nardo v. i.
14. χλιαροὶ] χλωροὶ A. Correxi. « Usque quo ipsi sunt recentes », v. i. (recentes est probablement une faute d'impression pour tepentes).
18. ποθεὶς A. Correxi.
19. σὺν ἴτρω A ; cum vitro (pour nitro ?) v. i.

ὁμοῦ στρατολογοῦντες καὶ ἄλλων ὀρνέων διαφορὰς καὶ χῆνας ἀγρίας καὶ νήσσας, καὶ πᾶν εἶδος ὀρνέου, ἀπό τε Αἰγύπτου καὶ Λιβύης καὶ Συρίας ἀφίπτανται καὶ ἔρχονται εἰς Λυκίαν εἰς τὸν λεγόμενον Ξάνθον ποταμόν, καὶ συνάπτουσιν πόλεμον ἐκεῖσε μετὰ τῶν κοράκων τε καὶ κορωνῶν καὶ κολοιῶν καὶ γυπῶν καὶ ὅσα σαρκοβόρα εἰσίν. Διὸ ἐκεῖνα ἐπιστάμενα τὸν καιρὸν εὑρίσκονται πάντα.

2] Τῶν μὲν πελεκάνων τὸ στράτευμα ἐν μέρει τοῦ χείλους τοῦ ποταμοῦ παρατάσσεται · τῶν δὲ κοράκων καὶ γυπῶν (f. 100 v.) καὶ ὅλων τῶν σαρκοφάγων ὀρνέων ἐκ τοῦ ἑτέρου χείλους τοῦ ποταμοῦ διατάσσεται · ὅλον τὸν ζον μῆνα εἰς τὸν πόλεμον καρτεροῦσιν · γινώσκουσιν δὲ τὰς ἡμέρας ἐν αἷς μέλλουσιν συγκρούειν τὸν πόλεμον · καὶ μετὰ τὸ συγκροῦσαι τὸν πόλεμον ἀκούονται αἱ κραυγαὶ ἕως τὸν οὐρανόν · καὶ αἱμάτων ῥοαὶ ἐπὶ ποταμῷ τιτρωσκομένων τῶν ὀρνέων, καὶ πτερῶν ἀμυθήτων ἀπόρροια, ὅθεν οἱ Λύκιοι εἰς τὰς στρωμνὰς κέχρηνται τῶν πτερῶν αὐτῶν. Μετὰ δὲ τὴν ἐπάνοδον τοῦ πολέμου ἴδοις ἂν τετραυματισμένας τὰς κορώνας καὶ τὰ λοιπὰ τῶν σαρκοβόρων ὀρνέων πλήθη, ὁμοίως δὲ καὶ τῶν πελαργῶν καὶ τῶν πελεκάνων οὐκ ὀλίγους καὶ τῶν ἐν αὐτοῖς ὀρνέων · πολλὰ δὲ καὶ ἐν τῷ πολέμῳ πίπτουσιν νεκρά.

3] Σημεῖον δέ ἐστιν ὁ πρὸς ἀλλήλους πόλεμος καὶ ἐξ ἀμφοτέρων (f. 101 r.) νίκη πᾶσιν ἀνθρώποις · ἐὰν γὰρ τὸ τῶν πελαργῶν στράτευμα νικήσῃ, πλῆθος ἔσται καὶ ἀφθονία σίτου καὶ τῶν ἄλλων σπερμάτων · ἐὰν δὲ τὸ τῶν κοράκων νικήσῃ πλῆθος, ἔσται προβάτων καὶ ζώων καὶ βοῶν καὶ τῶν ἄλλων τετραπόδων.

4] Οἱ δὲ πελαργοὶ ἔχουσι καὶ ἄλλο φυσικόν τι ἐξαίρετον · ὅταν γὰρ οἱ γονεῖς αὐτῶν γηράσωσι καὶ οὐ δύνανται ἀνίπτασθαι, τὰ τέκνα ἑκατέρωθεν τῶν μασχαλῶν βαστάζοντα μεταφέρουσιν ἀπὸ τόπου εἰς τόπον, καὶ οὕτως τρέφουσιν. Ἐὰν δὲ καὶ μὴ βλέπωσιν, ψωμιοῦσιν αὐτοὺς τὰ τέκνα, καὶ λέγεται ἡ παρ' αὐτῶν ἀμοιβὴ καὶ ἀνταπόδοσις ἀντιπελάργωσις.

5] Ἔχει δὲ καὶ δύναμιν τοιαύτην τὰ ᾠὰ αὐτοῦ · μετὰ οἴνου λειωθέντα μελαίνουσι τρίχας. Χρὴ δὲ ζύμῃ περιπλάσσειν τὸ μέτωπον (f. 101 v.) καὶ τοὺς ὀφθαλμούς · δεῖ δὲ μετὰ τὸ βαφῆναι τὰς τρίχας λούεσθαι καὶ ἀλείφεσθαι μυρσίνῳ ἐλαίῳ ἢ ὀμφακίνῳ ἐν ᾧ ἐτάκη στέαρ ἄρκτειον ἢ συάγρειον.

6] Ἐὰν δὲ νεοσσὸν μικρὸν πελαργοῦ λάβῃς, βάλῃς εἰς χύτραν καινήν, καὶ περιπηλώσας δώῃς εἰς φοῦρνον ὀπτᾶσθαι · ὅταν δὲ ἀπανθρακωθῇ, ἄρας τὴν τέφραν, λειώσας χρησίμως, ἕξεις ξηροκολλούριον πρὸς ἀχλὺν ὀφθαλμῶν καὶ δακρύων ἐπιφορὰν καὶ τριχίασιν καὶ ὅσα τοιαῦτα ποιεῖ ὡς τεχνίτης. Εἰ δὲ θέλεις ὑγροκολλούριον αὐτὸ ποιῆσαι, ἐπίβαλε μέλιτος ἀκάπνου τὸ ἀρκοῦν καὶ συνλειώσας χρῶ.

6. πελεκάνων] pelargorum v. i., f. mel.
9. δὲ] enim (sc. γὰρ) v. i., f. mel.
10. F. suppl. ἕως <πρὸς> τὸν οὐρανόν.
12. Il faudrait τοῖς πτεροῖς.
19. ἀφθονία] ἀθινία A ; abundantia v. i.
24. F. l. ψωμίζουσι.
33. F. l. ...καὶ ὅσα τοιαῦτα. Ποίει... et omnia hujusmodi facies ut artifex v. i.

7] Ζῶντος δὲ πελαργοῦ ἀφελόμενος τὰ νεῦρα τῶν ποδῶν καὶ σκελῶν καὶ πτερύγων περίαπτε ποδαγροῖς καὶ χειραγροῖς, τὰ ὅμοια τοῖς ὁμοίοις, καὶ ἰαθήσῃ.

8] Ἐσθιόμενος δὲ πελαργὸς ἑφθεὶς ἅπαξ τοῦ ἐνιαυτοῦ (f. 102 r.), ἦρος ἀρχομένου, πρὶν αὐτὴν εἰς τὸν πόλεμον ἀποπτῆναι ἀβλαβῆ καὶ ἀνώδυνον διαφυλάττει ἕνεκεν νεύρων καὶ ἄρθρων τὸν ἐσθίοντα · φεύξεται γὰρ ποδάγρα, χειράγρα, γονάγρα, ἰσχιάδα, ἀρθρῖτις, ὀπισθότονος καὶ ὅσα νευρικὰ πάθη καὶ ἀρθριτικά.

9] Ἡ δὲ κόπρος αὐτοῦ καταπλασσομένη μεθ' ὑοσκυάμου φύλλων καὶ θρίδακος ποδαγροὺς ὠφελεῖ.

10] Τὸν δὲ ἐν τῇ κοιλίᾳ ἐχῖνον λαβὼν καὶ πλύσας οἴνῳ καὶ ξηράνας ἐν σκιᾷ ἔχε λεῖον. Ἐὰν δέ τις πίῃ φάρμακον θανάσιμον, ἐξ αὐτοῦ ξύσας, βαλὼν εἰς οἶνον τεθαλασσωμένον δίδου πιεῖν, καὶ ἀβλαβὴς διατηρηθήσεται.

11] Τὰ δὲ ἔντερα αὐτοῦ ἐσθιόμενα κωλικοὺς καὶ νεφριτικοὺς ἰῶνται.

12] Ἡ δὲ χολὴ ὀξυδορκίαν παρέχει ἐνχριομένη.

13] Ἐὰν δέ τις νικήσαντος πελαργοῦ ἐν τῷ πολέμῳ λαβὼν καρδίαν δήσῃ εἰς δέρμα ἱέρακος ἢ γυπὸς (f. 102 v.) [ἢ γυπὸς] νικηθέντος, ἐπιγράψῃ δὲ ἐν τῇ καρδίᾳ ὅτι « ἐνίκησα τοὺς ἀντιδίκους μου », καὶ περιάψῃ δεξιῷ βραχίονι, ἔσται ὁ φορῶν ἀήττητος ἐν πᾶσι καὶ θαυμαστός, καὶ τοὺς ὑπερέχοντας αὐτὸν νικᾶν πάντας ἐν τῷ πολέμῳ καὶ δίκαις. Ἀπαράβατον, νικητικὸν καὶ μέγιστον φυλακτήριον.

ΠΕΡΙ ΠΕΡΙΣΤΕΡΑΣ

14] Περιστερὰ πτηνὸν πᾶσιν γνωστόν ἐστι, καὶ δένδρον ἐστὶν ἐν τῇ Ἰνδίᾳ λεγόμενον περιδέξιον, οὗ ὁ καρπὸς γλυκὺς καὶ χρηστός, ὥστε τὰς περιστερὰς τερπομένας ἐν αὐτῷ αὐλίζεσθαι καὶ κατασκηνοῦν. Τοῦτο τὸ δένδρον ὄφις δέδοικεν, ὥστε καὶ τὴν σκιὰν αὐτοῦ φεύγειν. Ἐὰν ἡ σκιὰ τοῦ δένδρου πρὸς ἀνατολὰς <ἔλθῃ>, φεύγει ὁ ὄφις ἐπὶ δυσμάς · ἐὰν δὲ ἐπὶ δυσμὰς ἔλθῃ ἡ σκιὰ (f. 103 r.) τοῦ δένδρου, ὁ ὄφις τρέχει κατὰ τὰς περιστεράς · καὶ διὰ τοῦ δένδρου τὴν δύναμιν οὐκ ἰσχύει ἅψασθαι τῶν περιστερῶν. Οὐκ οἶδα ἐὰν ἀποπλανηθῇ ἐκ τοῦ δένδρου · καὶ οὗτος αὐτὴν ἐμφυσήσας ἐπισπᾶται καὶ ἐσθίει. Ἐὰν δὲ ὅλαι ὁμοῦ πέτονται, οὔτε ὄφις, οὔτε ὀξύπτερος τολμᾷ αὐτὰς ἅψασθαι. Τοῦ οὖν δένδρου τὰ φύλλα ἢ ὁ φλοῦς θυμιώμενος πᾶν κακὸν ἀποδιώκει.

15] Πτίλον δὲ περιστερᾶς ἔχον αἷμα θερμὸν καὶ ἐνσταζόμενον τὰς ἐκπληγάς, ῥήξεις τῶν ὀφθαλμῶν ἑνοῖ καὶ ἶαται.

9. ἐχῖνον, poche. Cp. Aristot., *Part. animal.*, p. 614 *b*, 5.
16. περιάψῃ] περιάψεις A. Corr. conj. F. l. περιάψας.
17. καὶ τοὺς ὑπερέχοντας...] F. l. ὡς τοὺς ὑπ. (Confusion de signes paléographiques.)
23. ἔλθῃ addidi. « Vadit » v. i.
25. περιστεράς] F. l. ἀνατολάς. « Versus orientem » v. i.
28. ἅψασθαι] laedere v. i. qui a sans doute lu βλάψασθαι.

16] Ἡ δὲ ἄφοδος σὺν κριθίνῳ καὶ ἰρίνῳ ἀλεύρῳ καὶ ἰξῷ καὶ στέατι ὑείῳ ἐπιτιθεῖσα γαγγραίνας περιχαράσσει, καὶ χοιράδας ῥήγνυσιν. Σὺν ὄξει δὲ καταχριομένη φακοὺς καὶ σπίλους τοὺς ἐν ὄψει καὶ στίγματα αἱρεῖ (f. 103 v.). Σὺν κεδρίᾳ δὲ μιχθεῖσα καὶ λευκοὺς ἀλφοὺς καὶ λιχένας καὶ λέπρας ἄκρως θεραπεύει. Μετὰ δὲ γῆς αἰγυπτίας καὶ εὐφορβίου καὶ κρόκου μίγματος καὶ ὄξει λειωθεῖσα καὶ καταχρισθεῖσα μετώπῳ κεφαλαλγίαν ἄκρως ἰᾶται. Εἰς δὲ τὴν ἕδραν χριομένη σὺν ἐλαίῳ ἐκφράττει τὴν γαστέρα.

17] Οἱ δὲ ὄρχεις τοῦ ἄρρενος φιλτροπόσιμοί εἰσι, γυναιξὶ παρ' ἀνδρῶν δοθέντες, ἡ δὲ τῆς θηλείας μήτρα ἀνδράσιν.

ΠΕΡΙ ΠΕΡΔΙΚΟΣ

18] Πέρδιξ πετηνὸν δόλιον · τοὺς ὁμοφύλους εἰς ἄγραν προτρεπόμενος οὗτος τὰ ἀλλότρια ὠὰ ὡς ἴδια θάλπει · ἔπειτα ὅταν αὐξηθῶσιν ἐκ τῶν αὐτῶν εἰς τοὺς κυήτορας ἀπέρχονται, ἔρημον τὸν θάλψαντα μεταλείψαντες.

19] Ἡ οὖν χολὴ τοῦ πέρδικος σὺν μέλιτι καὶ ὀποβαλσάμου χυλῷ καὶ μαράθρου ὀξυωπίαν παρέχει · ἑψομένη δὲ σὺν κυδωνίοις (f. 104 r.) καὶ μήλοις καὶ ἐσθιομένη τοῦ ζωμοῦ ἐπιρροφουμένου στυφέως κοιλιακοὺς καὶ στομαχικοὺς θεραπεύει.

20] Τὰ δὲ ὠὰ αὐτοῦ ἐσθιόμενα ἀφροδισίαν παρορμῶσιν · εἰσὶν δὲ φιλτροπόσιμα. Μετὰ δὲ χηνείου στέατος λειούμενα καὶ χριόμενα ταῖς θηλαῖς τῶν τροφῶν γάλα πολὺ φέρουσι. Τὰ δὲ λέπη τῶν ὠῶν λεῖα σὺν κηρῷ καὶ καδμίᾳ ἑνωθέντα καὶ κλασθέντα μασθοὺς γυναικῶν ἐνδυκότας ἀνορθοῦσιν.

ΣΤΟΙΧΕΙΟΝ Ρ.

ΠΕΡΙ ΡΑΦΙΟΣ

1] Ῥάμφιος πτηνόν ἐστι παρὰ τὸν ποταμὸν Νεῖλον ἡπταμένον λεγόμενον πελεκάνος, καὶ ἐν τῇ λίμνῃ τοῦ Αἰγύπτου διαιτώμενον, οὕτως φιλότεκνόν ἐστι πάνυ. Ὅταν οὖν γεννήσῃ νεοσσούς, καὶ ὀλίγῳ αὐξηθῶσι, τύπτουσιν εἰς τὸ πρόσωπον αὐτῶν. Ἐκεῖνοι μὴ ἀνεχόμενοι (f. 104 v.) κολαφίζουσιν τὰ τέκνα καὶ ἀποκτενοῦσι αὐτά · ὕστερον δὲ σπλαγχίζονται ἐπ' αὐτοὺς καὶ πενθοῦσι τὰ τέκνα ἅπερ ἐφόνευσαν. Τῇ οὖν αὐτῇ ἡμέρᾳ ἡ αὐτῶν μήτηρ ἐλεεῖ τὰ ἴδια τέκνα καὶ τὰς ἑαυτῆς πλευρὰς περιτίλασα ἀναπτύσσει, τὰ δὲ αἵματα στάζοντα ἐπὶ τὰ νεκρὰ σώματα αὐτῶν τῶν θανόντων τέκνων ζωογονεῖ αὐτά, καὶ ἐγείρονται φυσικῷ τινι τρόπῳ.

2] Τούτων οὖν ἡ χολὴ μετὰ νίτρου σμηχομένη μελαίνας ἀλφοὺς ἰᾶται καὶ οὐλὰς

4. μιχθὲν A. Correxi.
12. ὡς σίδια A ; velut sua v. i.
17. F. l. εἰσὶ γάρ. Sunt autem v. i.
20. F. l. ἐνδεδυκότας.

μελαίνας ὁμόχρους ποιεῖ καὶ ἄργυρον στυγνὸν λαμπρὸν ποιεῖ καὶ πᾶσαν μέλαιναν <πληγὴν> ἰᾶται.

3] Τὸ δὲ αἷμα αὐτῶν ποθὲν ἐπιληψίαν ἰᾶται.

ΣΤΟΙΧΕΙΟΝ Σ.

ΠΕΡΙ ΣΠΙΝΟΥ

1] Σπίνος στρουθίον εὔμορφον καὶ πᾶσι γνωστὸν ἐν ἄγροις διαιτώμενον.

2] Τοῦτο βιβρωσκόμενον εὐμορφίαν δίδωσι καὶ ἀμέθυστον φυλάττει ἄνθρωπον.

(F. 105 r.)

ΠΕΡΙ ΣΕΙΣΟΠΥΓΙΟΥ

3] Σεισοπυγίς, στρουθίον παρ' ὀχετοῖς καὶ ῥύμαις εὑρισκόμενον. Τούτου ἡ πύγη δι' ὅλου κινεῖται, ὅθεν καὶ οὕτως ὠνομάσθη.

4] Ἐὰν οὖν τις αὐτὴν βάλλῃ ὅλην σὺν τοῖς πτεροῖς εἰς κύθραν καὶ ἀπανθρακώσῃ καὶ λειώσας δώῃ ἐν ποτῷ γυναικί, ποιήσει αὐτὴν ἀπὸ τοῦ ἔρωτος λύεσθαι. Ἔστιν γὰρ φιλτροπόσιμον ἀπαράβατον, ὃ οὐδεὶς οἶδεν.

ΣΤΟΙΧΕΙΟΝ Τ.

ΠΕΡΙ ΤΑΩΝΟΣ

1] Ταὼν ὄρνεόν ἐστιν ἱερώτατον, πάνυ ποικίλον, εὔμορφον, εἰς τὴν οὐρὰν ἔχον τὴν τέρψιν. Τοῦτο ὅτε βιάζεται, ἀναβοᾷ, καὶ μετὰ τὸ βιβάσαι, εἰς τὰ ὀπίσω ἀναχωρεῖ. Τὸ ἔαρ μόνον βιβάζει. Τούτου τὰ ὠὰ εἰς χρυσοποιίαν ποιοῦσιν, ὥσπερ καὶ τὰ τοῦ χηνός. Ἐὰν δὲ ἀποθάνῃ (f. 105 v.) ὁ ταών, οὔτε σέπτεται, οὔτε ὄζει δυσῶδες, ἀλλὰ μένει ὡς ἐσμυρνισμένος.

2] Τούτου ὁ ἐγκέφαλος φιλτροπόσιμός ἐστι.

3] Ἡ δὲ καρδία φορουμένη εὐείδειαν καὶ ἐπιτυχίαν παρέχει.

4] Τὸ δὲ αἷμα αὐτοῦ ποθὲν δαίμονας ἀποδιώκει.

5] Τὰ δὲ ἐντὸς αὐτοῦ καὶ ἡ κόπρος θυμιώμενα πᾶν φαῦλον ἀποδιώκουσιν καὶ μανίαν.

6] Αὐτὸς δὲ ἐσθιόμενος δυσεντερικοὺς θεραπεύει.

7] Ἡ δὲ κόπρος πινομένη ἐπιληψίαν ἰᾶται.

2. πληγὴν supplevi e conj., sed pro μέλαιναν, f. l. μέλανσιν. — « Omnem que nigredinem sanat et abstergit. » v. i.

9. Σεισοπύγης A. Correxi e v. i.

20. ἐσμυρνωμένος A. Corr. conj.

ΠΕΡΙ ΤΡΥΓΟΝΟΣ

8] Τρυγὼν στρουθίον πᾶσι γνωστόν, μονανδρίᾳ ἀρκοῦν.

9] Ταύτης ἡ κόπρος μετὰ μέλιτος λευκώματα καθαίρει· σὺν δὲ ῥοδίνῳ λειωμένη καὶ χριομένη ὑστέραν θεραπεύει.

10] Τρυγὼν δὲ αὐτὴ ἐσθιομένη σωφροσύνην καὶ ἀνδράσι καὶ γυναιξὶν ἀλλήλοις ἐργάζει.

ΣΤΟΙΧΕΙΟΝ Υ.

ΠΕΡΙ ΥΠΕΡΙΟΝΙΔΟΣ

1] Ὑπερὶονὶς ἀετός ἐστι θήλεια. Ταύτης ἡ δύναμίς (f. 106 r.) ἐστιν ὁποία καὶ τοῦ ἄρρενος.

2] Ἡ δὲ κόπρος αὐτοῦ σὺν μέλιτι συναγχικοὺς ἰᾶται ἄκρως καὶ ὅσα περὶ τὸν τράχηλον πάθη καὶ βῆχας ὠφελεῖ.

3] Ἡ δὲ καρδία ταύτης παρὰ γυναικῶν καταπομένη ἰσχυρὰς αὐτὰς ποιεῖ καὶ ὑγιαινούσας καὶ ἀνδρῶν ἰσχυροτέρας καὶ σώφρονας.

ΣΤΟΙΧΕΙΟΝ Φ.

ΠΕΡΙ ΦΗΝΗΣ

1] Φήνη ὄρνεόν ἐστιν ὀστοκλάστης, ὅπερ οὐ μόνον σαρκοφαγεῖ, ἀλλὰ καὶ τὰ ὀστᾶ ἐσθίει.

2] Τούτου ξηρὰν τὴν κοιλίαν ἐάν τις λειώσας πίῃ μετ' οἴνου, πέψιν εἰς ἄκρον ἐργάζεται· καὶ φορουμένη δὲ αὐτὸ ποιεῖ· ὁμοίως καὶ λιθουρίαν καὶ δυσουρίαν θεραπεύει.

3] Ὀστέον δὲ ἐκ τοῦ μηροῦ τοῦ ὀρνέου περιαφθὲν ἐν μηρῷ κιρσοὺς θεραπεύει τοὺς ἐν τοῖς ποσίν.

4] Ἡ δὲ χολὴ σὺν μέλιτι χριομένη λευκώματα παύει καὶ λέπρας.

ΠΕΡΙ ΦΑΣΙΑΝΟΥ

5] (F. 106 v.) Φασιανὸς ὄρνεόν ἐστι πᾶσι γνωστόν.

2. ἀρκοῦν] ἀσκοῦντα A; contenta v. i.
8. ὑπερονίδος A. Correxi e v. i.
9. ὑπερονὴς A.
11. αὐτοῦ] F. l. αὐτῆς.
13. F. l. καταπεπομένη.
20. αὐτὸ] F. l. ταὐτὸ.

6] Τούτου ἡ κόπρος χριομένη καὶ πινομένη ἔντασιν ποιεῖ.

7] Τὸ δὲ στέαρ αὐτοῦ τετανικοὺς πάνυ ὠφελεῖ, καὶ ὑστέρας πάθη.

8] Τό δὲ αἷμα αὐτοῦ δηλητηρίων ἀντιφάρμακον.

9] Ἡ δὲ χολὴ ὀξυωπίαν παρέχει.

ΠΕΡΙ ΦΑΛΑΡΙΔΟΣ

10] Φαλαρίς, πτηνὸν τὸ λεγόμενον λευκομέτωπον· ὅλον γάρ ἐστι μέλαν, τὸ δὲ μέτωπον ἔχει λευκόν. Εὑρίσκεται δὲ ἐν ποταμοῖς καὶ λίμναις.

11] Τούτου ὁ ἐγκέφαλος σὺν ἐλαίῳ παλαιῷ μιχθεὶς πάντα ἐν ἕδρᾳ πάθη θεραπεύει τὰ καταστίκτοντα τὸν ἄνθρωπον.

12] Βρωθεὶς δὲ ὁ ὄρνις ἀντιφάρμακον δηλητηρίων ἐστὶν ἀναγκαῖον.

ΣΤΟΙΧΕΙΟΝ X.

ΠΕΡΙ ΧΕΛΙΔΟΝΟΣ

1] Χελιδὼν ἡ τὸ ἔαρ πάντας διυπνίζουσα ἔχει πρᾶξιν τοιαύτην· ἐάν τις τοὺς νεοσσοὺς αὐτῆς βάλλῃ εἰς χύτραν καὶ προσπηλώσας ὀπτάσῃ, ἔπειτα δὲ ἀνοίξας τὴν χύτραν κατανοήσῃ, εὑρήσει τοὺς νοσσοὺς δύο (f. 107 r.) ἀποστρεφομένους ἀλλήλοις.

2] Ἐὰν οὖν λάβῃς τοὺς φιλοῦντας καὶ λειώσῃς μετὰ ῥοδίνου καὶ ἀλείψῃς γυναῖκα, παραχρῆμα σοὶ ἀκολουθήσει.

3] Εἰ δὲ καὶ δῴης πιεῖν ἐκ τῆς τέφρας, μανήσεται ἀπὸ τοῦ ἔρωτος· λύσεις δὲ τοῦτο. Λαβὼν ἐκ τῆς τέφρας τῶν νεοσσῶν τῶν ἀποστρεφομένων, ἄλειψον ἢ πότισον· καὶ ἀποστρεφήσεται ὁ ἔρως ὁ πολύς.

4] Ἡ δὲ τέφρα αὐτῶν τε καὶ τῶν μητέρων σὺν μέλιτι διαχριομένη συναγχικοὺς ἰᾶται, καὶ βρόγχου ἕλκη σὺν μελικράτῳ πινομένη.

5] Αὐτὴ δὲ ἡ χελιδὼν συνεχῶς ἐσθιομένη ἱερὰν νόσον θεραπεύει.

6] Οἱ δὲ ἐντὸς τῆς κοιλίας τῶν νεοσσῶν λίθοι περιαπτόμενοι δεξιῷ βραχίονι ἡπατικοὺς ἰῶνται. Προφυλακτικοὶ δέ εἰσιν βηχός, κορύζης, σταφυλῆς παρισθμίων καὶ πάσης ὀφθαλμίας.

7] Οἱ δὲ ὀφθαλμοὶ περιαπτόμενοι μετώπῳ ὀφθαλμίαν παύουσι (f. 107 v.) καὶ παντοῖον ῥιγοπύρετον ἰῶνται. Ἐσθιόμενοι δὲ ἐπιληψίαν παύουσι καὶ ὠκυτοκίαν παρέχουσιν.

6. φαλακρὸς v. i.
9. F. l. καταστίζοντα.
17. A mg.: ὡρ. (sc. ὡραῖον).
19. ἀπὸ] F. l. ὑπὸ.

8] Ἡ δὲ τέφρα σὺν μέλιτι χριομένη ὀξυωπίαν ποιεῖ. Διαχριομένη δὲ ὡσαύτως ἕλκη τὰ ἐν φάρυγξι καὶ γλώττῃ τὰ ἤδη νεμόμενα καὶ γαγγραίνας ἄκρως θεραπεύει.

9] Ὁ δὲ πηλὸς τῆς καλιᾶς αὐτοῦ μεθ' ὕδατος λειωθεὶς καὶ περιχριόμενος τραχήλῳ καὶ φάρυγγι φλεγμονὰς καὶ συνάγχην ἰᾶται · σὺν ὄξει δὲ κεφαλαλγίαν παύει.

10] Ἡ δὲ κόπρος αὐτῆς ποθεῖσα φύματα ἰᾶται. Μετὰ χολῆς δὲ αἰγείας μιχθεῖσα βάπτει τρίχας μελαίνας καὶ ἀλφοὺς [μελαίνας] ἰᾶται.

ΠΕΡΙ ΧΑΡΑΔΡΙΟΥ

11] Χαραδριός, ὄρνεον βασιλικὸν προγνωστικόν · ἐὰν γάρ τις ἀρρωστῇ καὶ εἰσάξουν ἔμπροσθεν αὐτοῦ τὸ ὄρνεον καὶ ἀποστρέψῃ τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ νοσοῦντος, ἀποθνήσκει · εἰ δὲ ἀτενίσει τῷ νοσοῦντι, αἴρει (f. 108 r.) ἅπασαν νόσον καὶ ἀνίπταται εἰς τὸν ἥλιον καὶ ἀπορρίπτει τὴν νόσον, καὶ σώζεται καὶ ὁ ἀσθενῶν καὶ τὸ πτηνόν.

12] Τούτου ἡ καρδία καὶ ἡ κεφαλὴ φορουμένη ἄνοσον καὶ ἀβλαβῆ ἀπὸ παντὸς πάθους ποιεῖ τὸν φοροῦντα ἐπὶ παντὸς βίου αὐτοῦ.

ΠΕΡΙ ΧΗΝΑΡΙΟΥ

13] Χήν ἐστι ζῶον ὄρνεον γνωστόν.

14] Ζώσης οὖν χηνὸς ἐάν τις ἀποκόψῃ τὴν γλῶσσαν ψαλίδι καὶ ἀποθῆται ἐν τῷ στήθει καθεύδοντος ἀνδρὸς ἢ γυναικός, ἐξομολογήσεται πάντα ὅσα ἔπραξεν.

15] Ὁ δὲ ἐγκέφαλος αὐτῆς σὺν τῷ ἰδίῳ στέατι καὶ μελιλώτῳ καὶ ἑψήματι ἑφθὸς προστεθεὶς ῥαγάδας καὶ αἱμορροΐδας καὶ πᾶσαν φλεγμονὴν δακτυλίου θεραπεύει. Σὺν δὲ ῥοδίνῳ <καὶ> στέατι καὶ ὀπτοῖς λεκίθοις ὤων λειωθεὶς πρὸς φλεγμονὴν μήτρας ποιεῖ. Μετὰ δὲ μυελοῦ ἐλαφείου πρὸς ῥαγάδας χειλῶν καὶ χείμετλα ἁρμόζει. Σὺν κρινίνῳ ἐλαίῳ δὲ ἐνιέμενος (f. 108 v.) ἕλκει νεκρὰ ἔμβρυα. Πρὸς δὲ τὰς ἀφθὰς χρήσιμος, μετὰ χυλοῦ στρύχνων. Σὺν μέλιτι δὲ τὰ περὶ γλῶσσαν ἰᾶται. Σὺν δὲ νάρδῳ ποιεῖ πρὸς τὰ ῥευματιζόμενα ὦτα καὶ χρόνια. Σὺν δὲ σταφίσιν ἀγρίαις λειωθεὶς ἄνθρακας καθαίρει.

16] Ἡ δὲ χολὴ αὐτοῦ, μάλιστα τοῦ ἀγρίου, μετὰ χυλοῦ πρασίου ἢ πολυγόνου πεσσῷ τεθεῖσα σύλληψιν ποιεῖ ἀνδράσι τε ἔντασιν.

17] Τὸ δὲ στέαρ χρήσιμον πεσσοῖς, ἀκόποις, μαλάγμασιν.

2. φάραγξι A. Corr. conj.
3. F. l. αὐτῆς.
9. εἰσάξουν] ingrediatur v. i. F. l. εἰσάξον.
16. A mg. : Ἄλλο · χηνὸς ἀγρίας ἀνασπάσας τὴν γλῶσσαν, τὴν δὲ (lire τήνδε) χῆναν ζῶσαν ἀπόλυσον καὶ ὑπόθες εἰς καρδίαν. — Ἄλλο · Νυκτερίδος κ. τ. λ. (Texte reproduit ci-dessus, p. 68, l. 24, note.)
20. αἱμοστολίδας A ; hæmorrhoidas v. i.
23. ἐνιέμενον A. Correxi.
24. χρήσιμον A. Correxi.
25. ἀγρίαις] ἀεὶ γὰρ A ; purgatis v. i. Correxi.

18] Ἡ δὲ κόπρος σὺν ὕδατι ποθεῖσα βῆχας παύει · ἡ δὲ τοῦ ἀγρίου χηνὸς κόπρος θυμιωμένη δαίμονας ἀπελαύνει καὶ ληθαργὸν ἰᾶται καὶ ὑστερικὴν πνιγάδα.

19] Ἡ δὲ χολὴ μετὰ χολῆς βοὸς καὶ χυλοῦ δάφνης κώφωσιν ἰᾶται.

20] Ὁ δὲ ζωμὸς αὐτοῦ ποθεὶς σὺν οἴνῳ βοηθεῖ τοῖς πίνουσιν οἶνον ἢ ἀκόνιτον ἢ δορύκνιον.

21] Τὰ δὲ σπλάγχνα τοῦ χηνὸς ὀπτὰ ἐσθιόμενα τὸ μὲν ἧπαρ ὠφελεῖ στομαχικούς, ἡ δὲ κοιλία κοιλιακούς, (f. 109 r.) τὰ δὲ ἔντερα κωλικούς, ἡ δὲ καρδία καὶ ὁ πνεύμων φθισικοὺς ἰῶνται.

ΣΤΟΙΧΕΙΟΝ Ψ.

ΠΕΡΙ ΨΙΤΤΑΚΟΥ

1] Ψιττακός ἐστι πτηνὸν ὡραῖον πράσινον. Πόδες δὲ αὐτοῦ καὶ στόμα πυρρόν. Εὑρίσκεται ἐν Θηβαΐδι τῆς Αἰγύπτου καὶ ἐν τῇ Ἰνδίᾳ. Ἰσχυρὸν στόμα ἔχει ὡς καὶ σίδηρα ἀνταναιρεῖ. Μιμεῖται δὲ καὶ ἀνθρώπους τὴν φωνὴν καὶ πᾶν ζῶον.

2] Τούτου τὸ στόμα φορούμενον δαίμονας ἀποδιώκει καὶ πᾶν ῥιγοπύρετον καὶ δύναται ὅσα καὶ ὁ χήν.

3] Ἐσθιόμενος δὲ ἰκτεριῶντας καὶ τοὺς φθισικοὺς καλῶς ἰᾶται.

<ΠΕΡΙ ΨΑΡΟΥ>

4] Ψάρος, στρουθίον κατάστικτον πᾶσι γνωστὸν ὅπερ ἐσθίει κώνειον, ὡς ὄρτυξ τὸν ἐλλέβορον.

5] Τοῦτο ἐσθιόμενον βοηθεῖ πᾶσιν τοῖς δηλητήριον πεπωκόσι παντοῖον · ἐὰν δὲ καὶ προφάγῃ, οὐ μὴ ἀδικηθῇ, οὐδὲ μὴ βλαβῇ.

ΣΤΟΙΧΕΙΟΝ Ω.

ΠΕΡΙ ΩΩΝ

1] Ὠὰ ὀρνίθων νεαρὰ ἐπιχρισθέντα πυρικαύστους ἰᾶται.

2] Ὠὸν δὲ εὐθύτοκον περιαφθὲν (f. 109 v.) ὠκυτόκιόν ἐστι · ἔστι δὲ πολύχρηστον καὶ ἀναγκαῖον τοῖς περὶ τοῖς ὀφθαλμοῖς πάθεσι.

3] Ὠῶν δὲ λέκιθος ὀπτὴ μετὰ μυρσίνης τὰ ἐξ ὑποδημάτων παρατρίμματα ἰᾶται.

3. μετὰ χολῆς] μετὰ χυλοῦ A ; cum felle v. i.
8. Après le § 21 devrait venir le texte placé au livre IV, § 2 de la lettre A, Τοῖς δὲ πεπωκόσι, κ. τ. λ.
13. ἀντανέρει A ; rumpat v. i. f. l. ἀνταναίρει? (mot conservé dans les anciens lexiques).
23. περικαύστους A ; combusturas ignis v. i.

καὶ πᾶσαν φλεγμονὴν καὶ ῥευματισμὸν καταστέλλει. Χρήσιμον δὲ καὶ πεσσοῖς, καὶ τοῖς περὶ τὴν ἕδραν ὑστερῶν πάθεσι, καὶ πᾶσαν ὀδύνην ἶαται, μάλιστα δὲ φλεγμονὰς ἐρυσιπέλων καὶ φυμάτων. Ὠμὸν δὲ ῥοφούμενον στέλλει οὖν γυναικὸς καὶ ἀναγωγὰς αἱμάτων καὶ ἀρτηρίας λαμπρύνει. Ποιεῖ δὲ πρὸς φλεγμονὴν δακτυλίου καὶ ῥαγάδας καὶ πᾶσαν ὀδύνην ἄκρως.

4] Τὸ δὲ κέλυφος αὐτοῦ καυθὲν καὶ λειωθὲν ἐμφυσᾶται πρὸς αἱμορραγίας μυκτήρων · σμηχόμενον δὲ ὀδόντας λαμπρύνει.

5] Ὁ δὲ ὑμὴν πεποίηται πρὸς χείλη ἐρρωγότα καὶ τραχεῖαν γλῶσσαν. Ποιεῖ δὲ ἁρμοδίως πρὸς χρυσοποιίαν. Ὁμοίως δὲ καὶ τὰ τοῦ χηνός (f. 110 r.) καὶ τοῦ ταῶνος.

6] Τὸ δὲ ὠὸν τῆς ἴβεως θηρία διώκει ὀπτόμενος.

7] Τὰ δὲ κορώνης ὠὰ χριόμενα τοῖς αἰδοίοις ἡδονικά ἐστι καὶ φίλτρον ποιεῖ. Ὁμοίως δὲ καὶ τὰ τῆς χελιδόνος καὶ μελαίνουσι τρίχας <καὶ> λευκώματα.

8] Τὰ δὲ τῆς περιστερᾶς ἐσθιόμενα ἔντασιν ποιοῦσιν.

9] Ὠὰ δὲ πέρδικος λεῖα σὺν μέλιτι ὠξυωπίαν παρέχουσι καὶ ὠκυτόκιά εἰσι.

10] Στρουθοκαμήλου ὠὸν ποδαγροὺς χριόμενον ὠφελεῖ.

11] Ὠὰ ἀράχνης ποθέντα, τρία ἐπὶ τριταίου καὶ τέσσαρα ἐπὶ τεταρταίου καὶ ἀμφημερινὸν καὶ πάντα κακὸν ἀποδιώκουσιν.

12] Ὠὰ δὲ ὀρνίθων ἄζυγα ὄνου οὔρῳ ἑψήσας δὸς φαγεῖν νεφριτικοῖς καὶ κωλικοῖς, καὶ ἰάσεις ὥστε θαυμάσαι.

13] Ὠὰ δὲ θαλασσίας χελώνης βρωθέντα σεληνιακοὺς θεραπεύουσιν.

Τέλος τῆς τρίτης βίβλου κυρανίδος.

2. ὑστέρων] F. l. καὶ ὑστέραν. Réd. du v. i. : in iis quae circa pedum et matricum passionem.
6. κέλυφος] λεκυφὸν A ; cortex v. i.
11. ἴβεως]. Cp. Wessely, *Neue griech. Zauberpapyri* : ἴβεως μορφήν, pap. london. 122, l. 10 ; ἴβεως πτερόν, pap. london. 121, vers 345.
12. εἰσι A.
18. κακὸν] typum v. i.
19. ἄζυγα] imparia v. i. F. l. ἄζυγος. — νεφριτικοὺς κ. κωλικοὺς A. Correxi.
21. Τὰ δὲ τῆς θαλ. χελ. l.

(F. 110 v.) # ΚΥΡΑΝΙΣ ΤΕΤΑΡΤΗ

ΠΕΡΙ ΙΧΘΥΩΝ

ΣΤΟΙΧΕΙΟΝ Α.

ΠΕΡΙ ΑΕΤΟΥ ΙΧΘΥΟΣ

1] Ἀετός ἐστιν ἰχθὺς θαλάσσιος ἀλέπιδος, ὅμοιος ἱέρακι χρόᾳ, μελανώτερος δέ, παρεοικὼς κατὰ πάντα τρυγόνι δίχα τοῦ κέντρου.

2] Τούτου οὖν τοῦ ἰχθύος οἱ ἐν τῇ κεφαλῇ λίθοι περιαπτόμενοι τεταρταΐζοντας ἰῶνται.

3] Ἡ δὲ χολὴ χριομένη ὀξυωπίαν παρέχει.

4] Τὰ δὲ ὀστέα αὐτοῦ καιόμενα ἐπὶ ἀμπελίνων ξύλων δαίμονας διώκει.

5] Ἐσθιόμενος δὲ ὁ ἰχθὺς ἐπιληψίαν ἰᾶται.

ΠΕΡΙ ΑΝΘΙΟΥ

6] Ἀνθίας, ἰχθὺς μέγιστος.

7] Τούτου ἡ χολὴ σὺν μέλιτι χριομένη ἐξανθήματα θεραπεύει καὶ ἀνθηρὸν τὸ πρόσωπον ποιεῖ.

8] Τὸ δὲ στέαρ αὐτοῦ σὺν κηρωτῇ ἐξωφάκας καὶ στεατώματα καὶ ἀποστήματα καὶ μασθοὺς καὶ χοιράδας καὶ δοθιῆνας ὠφελεῖ.

9] Λίθοι δὲ τῆς κεφαλῆς περιαπτόμενοι κεφαλαλγίας ἰῶνται (f. 111 r.) καὶ ὅσα κεφαλῆς πάθη καὶ τραχήλου.

1. Titre dans I : Κυρανίδος βιβλίον δ' περὶ τῆς τῶν ἰχθύων δυνάμεως.
5. Réd. de I : Ἀετός ἐστιν ἰχθὺς ἀλέπιδος, ὅμοιος ἱέρακι ἰχθύι, μελανώτερος δέ.
11. περὶ ἀνθείας A.
12. ἀνθύας A.
15. ἐξοφάκας A. Cp. ci-dessus, p. 29, l. 27. F. l. ἔξω φακᾶς.

ΠΕΡΙ ΑΜΙΑΣ ΙΧΘΥΟΣ

10] Ἀμία, ἰχθὺς τολμηρὸς καὶ τοὺς ἄλλους ἰχθῦς ἐπιτρέχων.

11] Τούτου οἱ ὀδόντες φορούμενοι, ὀδοντοφυεῖ τὰ παιδία.

12] Ἐσθιομένη δὲ δυσουρίαν παύει.

13] Οἱ δὲ ὀδόντες χωννύμενοι εἰς τὰς ῥίζας τῶν δένδρων ἢ εἰς ῥοδωνιᾶς ἄνθη πολλὰ φέρουσιν.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΑΧΑΡΝΩΝ >

14] Acharni pisciculi sunt parvi : horum vis ventrem mollit, renibusque prodest.

< ΠΕΡΙ ΑΣΤΑΚΟΥ >

Ms. 2510 (= S), (f. 80 r.) 15] * Ὀστακὸς ὀστρακόδερμός ἐστιν. Τούτου τὸ ὄστρακον κεκαυμένον καὶ λειωθὲν μετὰ χυλοῦ ὀρύζου καὶ διδόμενον κοιλιακοὺς ὠφελεῖ καὶ αἱμορραγίαν ἵστησι.

(Ms. A, suite du f. 111 r.) ΣΤΟΙΧΕΙΟΝ Β.

ΠΕΡΙ ΒΑΤΟΥ ΙΧΘΥΟΣ

1] Βάτος (οἱ δὲ βατίς), ἀλέπιδον ὀψάριον. Ῥωμαῖοι τούπαιναν αὐτὴν καλοῦσιν.

2] Ἐσθιόμενον συνεχέστερον ἀφροδισίαν παρορμᾷ.

ΠΕΡΙ ΒΟΥΓΛΩΣΣΟΥ ΙΧΘΥΟΣ

3] Βούγλωσσον θαλάσσιον τὸ λεγόμενον σκυθόπομα, ἐπιτεθὲν σπληνὶ καὶ φασκιωθὲν τήκει αὐτὸν φυσικῷ τρόπῳ. Δεῖ δὲ μετὰ τρεῖς ἡμέρας ὑπὸ καπνὸν αὐτὸ κρημνᾶν.

ΠΕΡΙ ΒΔΕΛΛΩΝ

4] Βδελλῶν καυθεισῶν τὴν τέφραν ὄξει λειώσας καὶ ἐκτίλας τὰς ἐν βλεφάροις

12. Sur la partie du ms. 2510 de la Bibliothèque nationale qui nous a procuré des additions et des variantes, voir, dans la Préface, la notice des manuscrits. — Les articles additionnels du ms. S notés d'un astérisque sont ceux qui figurent à la fois, avec ou sans variantes, et dans ce manuscrit et dans le vieil interprète.

17. τούπαιναν] culpelnam v. i.

τρίχας ὑπόχριε, (f. 111 v.) καὶ οὐκέτι φυήσονται. . . . .

5] Ἁρμόζουσι δὲ καὶ σπληνικοῖς, ὑδρωπικοῖς, ὄμμασι ῥευματιζομένοις, τῷ μετώπῳ ἐπιτεθεῖσαι.

6] Καπνιζόμεναι δὲ κόριδας ἀναιροῦσι.

7] Βδέλλας δὲ καταποθείσας ἐξάγουσι κόριδες ὑποθυμιώμεναι · ἀντιπαθοῦσι γὰρ ἀλλήλαις.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΒΛΑΝΙΟΥ? >

8] Blanius (forte leg. βλακείας) piscis est fluviatilis.

9] Hujus caput incensum et cum melle solutum et superlitum visus acutissimos praestat ; fel quoque ejus idem facit.

< ΠΕΡΙ ΒΟΥΦΕΩΝ? >

10] Bobes, alii vero *Bufeos* dicunt pisces, sunt similes parvis cephalis. Hi esi renibus prosunt. Fel autem visum acuit. Spinae autem succensae et xerion factae ulcera sanant.

ΣΤΟΙΧΕΙΟΝ Γ.

ΠΕΡΙ ΓΗΣ ΕΝΤΕΡΩΝ

1] Γῆς ἔντερα ἐπιτεθέντα νευροτρόπους ἄκρως ἰᾶται.

2] Ποιοῦσι δὲ καὶ πρὸς ἀποστήματα μασθῶν, καὶ γαγγλίαν ἀναλύουσι σὺν μέλιτι λειωθέντα καὶ ἐπιτεθέντα καὶ σκορπιοπλήκτους ἰῶνται, καὶ νύγμα ζμυραίνης θαλασσίας.

3] Σὺν οἴνῳ δὲ λεῖα ποθέντα λαθραίως λίθους θρύπτουσι καὶ δυσουρίαν ἰῶνται · γάλα δὲ πολὺ ἄγει ταῖς θηλαζούσαις, ὡς εἴρηται ποθέντα · ὀδονταλγίαν δὲ ἐπιτεθέντα πάνυ θεραπεύουσι · σὺν ἐλαίῳ δὲ ἑψηθέντα μέχρι τακῶσι, τοῦ ἐλαίου ἐγχριομένου ὠταλγίας ἰῶνται · καέντων δὲ τέφρα σὺν ὄξει λειωθεῖσα καὶ ἐπιχρισθεῖσα ἐρυσιπέλατα ἰᾶται.

1. Addition du v. i : Ipsae vero vivae superpositae loco in quo materia superabundat, evacuant eam, sanumque faciunt hominem.
4. On décline d'ordinaire κόρις, κόρεως.
17. Cp. Dioscoride, *Matière médicale*, II, 72, p. 195, Kühn.
19. γαγγλίαν] gangraenas v. i.
20. νύγμα] ἄνυμα A ; puncturam v. i.

4] Εἰς δὲ τὰ βρώματα τῶν μυλῶν ἐντιθέμενοι ἐξαιροῦσιν αὐτοὺς ἀνωδύνως, ὥστε ἀκολουθεῖν ἀπὸ (f. 112 r.) τῆς ῥίζης τὴν μύλην τῇ χειρὶ ἐκριζωμένην · μετὰ δὲ κηρωτῆς γινόμενοι λεῖοι διὰ ὠῶν ἐπιτεθέντα ποδάγραν ἰῶνται.

ΠΕΡΙ ΓΟΓΓΡΟΥ ΙΧΘΥΟΣ

5] Γόγγρος ἐστὶν ἰχθὺς θαλάσσιος μέγας ἐγχέλιδι ἐοικώς. Οὗτος ἑψηθεὶς σὺν ἐλαίῳ ἕως οὗ λυθῇ καὶ διηθουμένου τοῦ ἐλαίου καὶ κηρῷ ἐπιβαλλομένου, ἐὰν ἐπιπλάσσῃς τὴν κηρωτήν, γυναιξὶν ἐγκύοις οὐκ ἐᾷ ῥήγνυσθαι τὰς κοιλίας αὐτῶν. Ὠφελεῖ δὲ καὶ ἀρθρῖτιν καὶ ῥαγάδας ποδῶν.

ΠΕΡΙ ΓΛΑΝΕΟΥ ΙΧΘΥΟΣ

6] Γλάνεος ἰχθύς ἐστι ποτάμιος καὶ λιμναῖος. Τοῦτου τὰ ὀστᾶ καιόμενα δαίμονας ἀποδιώκει.

7] Ἡ δὲ χολὴ ἐγχριομένη λευκώματα καθαίρει.

8] Τὸ δὲ ἧπαρ ἐσθιόμενον ἐπιληψίαν ἴαται.

9] Ὅλος δὲ ἰχθὺς εὐστόμαχος, κἂν αἰτιῶνται τοῦτόν τινες.

ΠΕΡΙ ΓΛΑΥΚΟΥ ΙΧΘΥΟΣ

10] Γλαῦκος, ἰχθὺς ἐνάλιος μέγιστος. Οὗτος μετὰ λαχάνων ἢ μαράθρων ἑψηθεὶς καὶ ἐσθιόμενος γάλα πολὺ ποιεῖ γυναιξίν.

11] Οἱ δὲ ἐν κεφαλῇ λίθοι περιαπτόμενοι ὀφθαλμίαν ἰῶνται.

12] Ἡ δὲ χολὴ γλαυκοφθαλμίαν (f. 112 v.) παιδίων μελαίνει, ὄμματα καὶ λευκώματα ἴαται.

13] Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ἀμφότεροι καὶ ὄρφου ὁμοίως καὶ θύννου καὶ ἀστέρος θαλασσίου καὶ χολὴ ὑαίνης συλλειόμενα, ἐὰν μίξῃς οἵου βούλει θηρίου στέαρ καὶ λύχνου καιομένου θυμιάσῃς, οἱ ὁρῶντες νομίσουσιν τὸ θηρίον ἐκεῖνο εἶναι οὗ τὸ

2. ἐκριζωμένην] ἐκθρυζομένην A. Corr. conj.
8. Réd. de S : Οὗτος σ. ἐλ. ἑψ. καὶ τακεὶς καὶ διηθηθεὶς (l. διηθέντος) τοῦ ἐλαίου μετὰ κηροῦ καὶ ἐπιθεμένου ῥάγας ποδῶν καὶ χειρῶν ἴαται, καὶ ἀρθριτικοὺς καὶ ποδαλγικοὺς ἴαται.
Ce manuscrit continue ainsi : Τμδ΄. ΓΟΜΦΟΣ ἰχθύς ἐστιν θαλάσσιος πᾶσι γνωστός.
Τούτου οἱ ὄδοντες φορούμενοι πᾶσαν ὀδονταλγίαν τελείων καὶ νηπίων ἰῶνται.
Τμε΄. ΓΝΑΦΗΣΙΩΝ ἰχθύων ὁ ζωμὸς μιγνύμενος κονίᾳ [στακτῇ] ὀμμάτια λαμπρύνει παλαιά, καὶ ἀπόνους ποιεῖ (στακτὴ synonyme de κόνια.)
Οἱ δὲ ἐν τῇ κεφαλῇ αὐτοῦ (f. l. αὐτῶν) λίθοι εὑρισκόμενοι καὶ περιαπτόμενοι ἀγρυπνίαν παρέχουσιν. Ἐσθιόμενοι δὲ ἐνύπνια χαλεπὰ δεικνύουσιν.
16. Réd. de S : Τμγ΄. ΓΛΑΥΚΟΣ ἰχθύς ἐστι θαλάσσιος ἐνάλιος. Οὗτος μ. λ. ἢ μαλάθρων ζωμευθεὶς γάλα πολὺ κατασπᾷ.
Οἱ δὲ ἐν τῇ κεφ. αὐτοῦ λ. π. κεφαλαλγίαν ἰῶνται.
Οἱ δὲ ὀφθ. α. φορούμενοι ὀφθαλμίαν θεραπεύουσιν.
Ἡ δὲ χολὴ αὐτοῦ γλαυκώματα ἀποκαθαίρει.
19. μελαίνουσιν A. F. l. μελαίνουσα.

στέαρ ἔμιξας. Ὁμοίως δὲ καὶ ὕδωρ θαλάσσιον μίξας, δόξουσιν θάλασσαν εἶναι, εἰ δὲ ἀπὸ ποταμοῦ, ποταμόν, εἰ δὲ ἀπὸ βροχῆς, βροχήν. Τὸν δὲ ἀστέρα ὁλόκληρον βάλε συνθλάσας.

. . . .

ΣΤΟΙΧΕΙΟΝ Δ.

ΠΕΡΙ ΔΕΛΦΙΝΟΥ ΙΧΘΥΟΣ

1] Δελφὶς τὸ κητῶέν ἐστιν ἐνάλιον ζῶον. Πλῆθος δὲ ἐκβλίσκεται κατὰ τὸν Εὔξεινον Πόντον, ὅθεν τὸ δελφινέλαιον καὶ ἡ ἰχθυόκολλα γίνεται.

2] Τούτου ὁ ἀσκὸς φυσηθεὶς καὶ τιθεὶς πρὸς ἄρκτον ποιεῖ βορρᾶν φυσᾶν · εἰ δὲ τιθεὶς πρὸς μεσημβρίαν, νότον · ὁμοίως καὶ εἰς τοὺς ἄλλους ἀνέμους δρᾷ.

3] Οἱ δὲ ὄδοντες αὐτοῦ περιαπτόμενοι παισὶν ὀδοντοφυοῦσιν ἁρμόδιοι.

4] Ἡ δὲ κοιλία αὐτοῦ ξηρὰ λεία ποθεῖσα σπληνικοὺς ἰᾶται.

. . . .

ΠΕΡΙ ΔΡΑΚΟΝΤΟΣ

5] (F. 113 r.) Δράκων ἰχθὺς θαλάσσιος ἰοβόλος λίαν · οὗτος ἀναπτυχθεὶς τὴν ἰδίαν πληγὴν θεραπεύει.

6] Τὸ δὲ κέντρον αὐτοῦ καὲν καὶ <ὄδοντι> ἐπιτεθὲν <με>τὰ χυλοῦ ὀποῦ τιθυμάλλου ἐκριζοῖ αὐτόν.

7] Οἱ δὲ ἐν τῇ κεφαλῇ λίθοι ποθέντες λιθουρίαν θεραπεύουσιν.

8] Ἐὰν δὲ τεφρωθῇ καὶ ἐπιπασθέν, ἐκ τῆς πληγῆς αὐτοῦ ἕλκη μετὰ θείου θεραπεύει.

9] Τὸ δὲ κέντρον αὐτοῦ δένδρῳ πηχθὲν αὐτίκα ξηραίνει αὐτό.

3. Addition du v. i : Adeps autem glauci ad multa est utilis, maximeque ad ani et matricis passionem.

5. Réd. de cet art. dans S : Τμζ΄. Δελφὶς ἰχθύς ἐ. θαλάσσιος, ὅθεν καὶ τὸ δ. καὶ τὸ ἰχθυόκολλον γίν. Τούτου ∿ πρὸς ἄρκτον βορρᾶν ἄνεμον προσκαλεῖται, πρὸς μεσ. δέ, νότον καὶ πρὸς τοὺς ἄλλους ἀνέμους τὸ αὐτὸ ποιεῖ.

6. Réd. du v. i. : Delphin catulos parit et marinum animal est. — ἐκβλίσκεται A ; ebullit v. i. (sc. ἐκβλύζεται ?)

12. Add. du v. i : Ejus jecur assum et esum tertianam et quartanam summe sanat, nocturnum que (forte diurnum vel amphimerinum) et omne typum <sanat>.

13. Rédaction de cet article dans S : Τμϛ΄. Δράκων ἰχθύς ἐστι θαλ. Τούτου ἡ κεφ. ἐπιτεθεῖσα τὴν ἰδ. πλ. θερ. Οἱ δὲ ἐν τῇ κεφ. α. λ. ποθ. λιθ. καὶ δυσουρίαν ἰῶνται.

16. κέντρον] centrum (i. aculeus, al. cerebrum) v. i. — ὄδοντι addidi e v. i.

<ΣΤΟΙΧΕΙΟΝ Ε.>

ΠΕΡΙ ΕΓΧΕΛΥΟΣ

1] Ἐγχέλυος τὸ ἧπαρ ὅλον σὺν τῇ χολῇ, ἐὰν λειώσας σὺν οἴνῳ δῴης πιεῖν λάθρα τινί, οὐδέποτε δυνήσεται πιεῖν οἶνον.

2] Αὕτη δὲ ἡ ἔγχελυς ἐν οἴνῳ πνιγεῖσα ἀμέθυσός ἐστιν, ἐὰν δῷς πιεῖν ἐν οἴνῳ ᾧ ἀπεπνίγη.

3] Ὀπτὴ δὲ ἐσθιομένη στομαχικοὺς καὶ δυσεντερικοὺς ἰᾶται.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΕΛΟΠΟΣ >

4] Elops piscis est magnus, similis glauco. Hujus adeps et fel omnem caliginem oculorum curant. Jecur autem ejus esum et assum epaticos curat. In capite vero lapides ejus suspensi omnem cephalalgiam et hemicraniam <sanant>.

ΠΕΡΙ ΕΧΙΝΟΥ

5] Ἐχίνου θαλασσίου ἡ σὰρξ ἐσθιομένη κοιλίαν μαλάσσει καὶ νεφροὺς καὶ λιθουρίαν ἄκρως θεραπεύει σὺν κονδίτῳ λαμβανομένη.

6] Αὐτὸς δὲ ὁ ἐχῖνος καυθεὶς καὶ λειωθεὶς τῆς τέφρας καὶ σμηχομένη λέπραν ἰᾶται καὶ ἕλκη ὀφρύων ταχέως ἐπουλοῖ (f. 113 v.) καὶ πᾶν ἕλκος ταχέως εἰς οὐλὴν ἄγει.

7] Ἀλωπεκίαν δὲ δασύνει μετὰ στέατος ἀρκτείου ἢ δελφινείου ἢ ὑείου ἀλειφόμενον.

ΠΕΡΙ ΕΧΕΝΗΙΔΟΣ

8] Ἐχενηὶς ἰχθύς ἐστιν ἐνεργής. Οὗτος, ἐὰν κολλωθῇ πλοίῳ ἁρμενίζοντι φερομένῳ οὐρείᾳ, ἵστησιν αὐτό.

2. Réd. de cet art. dans S : Τμη'. Ἐγχέλιος (*sic*) ἰχθύς ἐστι ποταμιαῖος (*sic*) καὶ λιμναῖος, ἐοικὼς ὄφει, ἀλέπιδος. Ταύτης τὸ ἧπαρ ὅ. σ. τ. χ. ἐὰν λειώσῃς σ. οἴνῳ, δὸς πιεῖν λάθρα τοῖς μὴ θέλουσιν πιεῖν οἶνον, καὶ οὐδ. δυνήσονται π. οἶνον. Αὐτὴ δὲ ἡ ἔ. ζῶσα ἐμβληθεῖσα εἰς οἶνον καὶ ἀποπνιγεῖσα, καὶ ὁ οἶνος λάθρα δοθεὶς οἰνόφλυγι, μεθυσθῇ (*sic*), παύσει αὐτὸν τῆς τοῦ οἴνου ἐπιθυμίας. — La réd. du v. i. traduit la première phrase de S, puis les 3 paragraphes du ms. A.

5. ἀμέθυσος] ἀτελέθυσος A. (Indice probable d'un archétype sur papyrus du IIIe siècle). Corrigé d'après A mg. et le v. i.

19. δελφίνου A. Corr. conj. « Cum adipe ursino vel delphino (forte δέλφακος vel delphacino...) » v. i.

21. περὶ ἐχενιεῖς A. Item infra.

9] Λαβὼν οὖν ἐχενηΐδα ζῶσαν βάλε αὐτὴν εἰς καπνέλαιον ἵνα πνιγῇ, καὶ ὅτε βούλει ἑψῆσαι, στάθμισον τὸ ὀψάριν · ἐὰν οὖν ἔχῃ λίτραν α', βάλε καπνέλαιον ξέστην α' καταλυθέντος τοῦ ἰχθύος, καὶ ἕψει μαλακῷ πυρί · καὶ ὅταν γνώσῃς ὅτι ἐλύθη τὸ ὀψάριον καὶ ἔστιν ὁ χυλὸς μετὰ ἐλαίου, διήθησον <καὶ> πρόσμιγε βουτύρου πρωτείου γο γ' εἰς τὸν χυλὸν τοῦ ὀψαρίου καὶ εἰς τὸν ξέστην, καὶ ὅταν ἑψηθῇ, ἀπόθου ἐν ὑελίνῳ ἄγγει, χρῶ δὲ ἀλείφων ἐκ τούτου πόδας, χεῖρας, ἄρθρα · ἐὰν γὰρ ὡς δέκα ἐτῶν ἐστιν τὸ πάθος τῆς ποδάγρας θεραπευθήσεται, κἂν ποδάγρα, κἂν χειράγρα ἐστίν, κἄν τε γονάγρα. (F. 114 r.) Χρῶ δὲ ἐν κοίτῃ καὶ ἀπὸ λουτροῦ. Ἑψῶν πρόσεχε μὴ ὑπερζέσῃ τὸ καπνέλαιον, ἐπεὶ ἐμπρησμὸν ποιεῖ. Ἕψει οὖν αὐτὸ ἐν ὑπαίθρῳ καὶ οὐκ ἐν οἰκίᾳ τὸν σταθμὸν τὸν προειρημένον βαλών. Εἰ δὲ ἔχει ὁ ἰχθὺς λίτρας θ' ἢ ζ' ἢ ἐλαττότερον, βάλε καὶ καπνέλαιον τόσον, τὸ δὲ βούτυρον γο θ'. Τὸ δὲ καπνέλαιον νάφθα ἐστίν.

ΣΤΟΙΧΕΙΟΝ Ζ.

ΠΕΡΙ ΖΜΥΡΑΙΝΗΣ

1] Ζμύραινά ἐστιν θηρίον θαλάσσιον καὶ κακοῦργον καὶ πονηρόν, ἀλέπιδον, ἔχον φολίδας μελαίνας ἐν τῇ ῥάχει καὶ ἐν τῇ δορᾷ, ἰοβόλον δὲ καὶ ὁρμητικὸν ἐπ' ἀνθρώπους. Ἐναντία ἐστὶν ἡ ζμύραινα τῷ ὀκτάποδι καὶ ἀναιρεῖ αὐτόν. Τὴν δὲ ζμύραιναν ἀναιρεῖ κάραβος, ὥστε ζμυραίνης καὶ καράβου ἄμφω ἑψημένων ἀφανίζεται ἡ ζμύραινα. Τὸν δὲ κάραβον πάλιν ἀναιρεῖ ὁ πολύπους.

2] Τῆς ζμυραίνης οἱ ὀδόντες ἁρμόζουσιν ὀδοντοφυοῦσιν παιδίοις περιαφθέντες.

3] (F. 114 v.) <Μετὰ> πεπεροζώμου δὲ ἐσθιομένη νεφριτικοὺς ἰᾶται, καὶ ἐλεφαντίασιν καὶ τὰ ψωρώδη πάθη ἄκρως ἰᾶται.

ΣΤΟΙΧΕΙΟΝ Η.

ΠΕΡΙ ΗΠΑΤΟΣ

1] Ἧπαρ ἰχθύς ἐστι μαλακός, ἀργός, ἧπαρ μέγα ἔχων.

2] Τούτου ἡ χολὴ σὺν μελικράτῳ ποθεῖσα ἡπατικοὺς ἄκρως ἰᾶται.

3] Τὸ δὲ ἧπαρ αὐτοῦ λεῖον ἐπιπλασσόμενον πᾶσαν φλεγμονὴν καὶ ποδάγραν ἰᾶται.

4] Ἡ δὲ κεφαλὴ αὐτοῦ καυθεῖσα ξήριον ἕλκη χρόνια <καὶ> νεμομένα θεραπεύει.

2. F. l. ὀψάριον, sicut infra.
14. ζμύρνης A partout.
27. ἐπιπλασσόμενον] superspersum v. i. qui a lu ἐπιπασσόμενον, peut-être préférable.
28. χρόνια] χοιρωνία A. Correxi et addidi e v. i. : antiqua et depascentia.

ΣΤΟΙΧΕΙΟΝ Θ.

ΠΕΡΙ ΘΥΝΝΟΥ

1] Θύννου ὀφθαλμοὺς καὶ πνεύμονος θαλασσίου ἐάν τις λειώσας ῥάνῃ ἐν στέγει τοῦ οἴκου, ὀψὲ δόξουσιν οἱ ἐν τῷ οἴκῳ ἀστέρας ὁρᾶν.

2] Ἐὰν δὲ ῥάβδον χρίσῃς ὁδεύων ὀψέ, ἀσελήνου, δόξεις φῶς ἐκ τῆς ῥάβδου ἀποπέμπεσθαι.

3] Ἐὰν δὲ ἐν τοίχῳ ἢ ἐν χάρτῃ γράψῃς οἷον θέλεις θηρίον ἢ ζωγράφησιν, οἱ ὁρῶντες θαμβήσονται.

4] Θύννων δὲ χολὴ καὶ ἧπαρ συνλειωθέντα καὶ ἐπιχρισθέντα προεκτίλας τὰς τῶν βλεφάρων τρίχας, οὐκέτι ἀναβήσονται.

ΠΕΡΙ ΘΡΙΣΣΗΣ

. . . .

5] (F. 115 r.) Θρίσσα παστὴ ἐσθιομένη δυσουρίαν ἴαται.

6] Καυθεῖσα δὲ ἡ τέφρα < καὶ > μετὰ ἰρίνου μύρου < ἐπιχρισθεῖσα > τρίχας καλὰς ποιεῖ καὶ πολλάς, καὶ τὰς ἐκπιπτούσας ἵστησιν.

7] Ὀπτὴ δὲ ἐσθιομένη κωλικοὺς καὶ στομαχικοὺς ὠφελεῖ.

ΣΤΟΙΧΕΙΟΝ Ι.

ΠΕΡΙ ΙΠΠΟΥΡΟΥ

1] Ἵππουρος, ἰχθὺς ὃν ἔνιοι ἄνθρωποι κορυφαῖον καλοῦσι.

2] Τούτου ἡ χολὴ <σὺν> μέλιτι ἀκάπνῳ ἐπιχριομένη πᾶσαν ἀμβλυωπίαν καὶ ἀμαύρωσιν ἴαται.

. . . .

2. Réd. de cet art. dans S : Τμθ'. Θύννος ἰχθύς ἐστιν μέγας. Τούτου τοὺς ὀφθ. καὶ πνεύμονα ἐὰν λειώσῃς καὶ ῥάνῃς τὴν στέγην ὀψὲ σκοτίας, δόξουσιν οἱ ἐν τῷ οἴκῳ ἀστέρας βλέπειν. Ἐὰν δὲ ῥ. χρ. ὁδ. ἀσελήνῳ νυκτί, δόξουσι φῶς εἶναι τὴν ῥάβδον. Ἐὰν δὲ εἰς χάρτην γρ. γράμματα ἢ ἐν τοίχῳ θηρίον ζῶον, οἱ ὁρ. θ. Ἡ δὲ χολὴ καὶ τὸ ἧ. λεῖα ἐπιχρισθεῖσα (*sic*), οὐκ ἐᾷ τρίχας φυῆναι.

8. θαμβήσονται] admirabuntur v. i., qui a lu θαυμάσονται.

12. Addition du v. i : Thrissa. Quidam vocant eam coplam ; alii vero dicunt qui modo trichias est. Thrissa ergo, etc.

14. καὶ et ἐπιχρισθεῖσα supplevi e v. i.

20. σὺν addidi e v. i. (cum melle).

22. Addition du v. i. : Omni modo quoque eandem habet virtutem, quam fel hyenae. Est autem valde aptus et suavis ad comedendum.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΙΠΠΟΚΑΜΠΗΣ >

3] Hippocampus marinus, omnibus notus.

4] Hic combustus et comminutus in adipe suillo alopeciam summe curat cum sylvestris ficus nigrae foliis, vel ruscae cinere ; cum aceto solutus albositatem et lepram curat : circumligatus autem ischiadicam quietat et tremulis prodest.

< ΠΕΡΙ ΙΟΥΛΙΔΟΣ >

(Ms. S, f. 81 r.) 5] * Τν´ Ἴουλος (sic), ἰχθὺς ποικίλος, πᾶσι γνωστός.

6] * Τούτου οἱ ὄδοντες φορούμενοι δαίμονας καὶ φαντασίας διώκουσιν.

7] Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ βασκανίας ἀπελαύνουσιν. * Συνεχῶς δὲ ἐσθιόμενοι ἐπιληπτικοὺς θεραπεύουσιν.

(Reprise du ms. A, f. 115 r.) ΣΤΟΙΧΕΙΟΝ Κ.

ΠΕΡΙ ΚΕΦΑΛΟΥ

1] Κεφάλου ταρίχου κεφαλὴ καυθεῖσα καὶ σὺν μέλιτι λειωθεῖσα συκᾶς τὰς ἐν ἕδρᾳ, ἐξοχάδας θεραπεύει καὶ τὰ ἐν ἄλλῳ τόπῳ. Ὁμοίως καὶ ἡ κεφαλὴ τῆς πηλαμύδος τὸ αὐτὸ ποιεῖ. Δεῖ οὖν ἀμφότερα μίξαντι ἐπιμελέστατα χρῆσθαι.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΚΟΡΑΣΚΟΥ >

2] Korasci fel cum melle coctum visus hebetudinem sanat. Hujus fel et corvi et perdicis et scari et scorpionis aequaliter cum melle et opobalsamo lita summe juvat hebetudinem visus patientes senes : et vulturis fel.

ΠΕΡΙ ΚΥΝΟΣ ΘΑΛΑΣΣΙΟΥ

3] Κυνὸς θαλασσίου οἱ ὄδοντες καέντες καὶ σὺν μέλιτι λειωθέντες οὖλα καθαίρουσιν.

4] Τὸ δὲ δέρμα αὐτοῦ φορούμενον κύνας εἰς φυγὴν τρέπει.

12. « et illaesum facit » add. v. i.
17. F. l. μίξαντα.
19. F. l. κοραξοῦ.

23. Réd. de S : Τνϐ´. Κύων θαλάσσιος, ζῶον πονηρόν, πᾶσι γνωστόν. Τὸ δέρμα αὐτοῦ φορ. κύνας γηΐνους ε. φ. τρ.

ΠΕΡΙ ΚΥΠΡΙΝΟΥ

5] Κυπρῖνος, ἰχθὺς ποτάμιος καὶ λιμναῖος.

6] (F. 115 v.) Τούτου τὸ στέαρ καὶ τὸ ἧπαρ δαίμονας φυγαδεύει καπνιζόμενα.

7] Ἡ δὲ χολὴ πᾶσαν ἀμαύρωσιν ἶαται ἐγχριομένη.

8] Ἔστιν δὲ τὸ στέαρ συνουσίας ὁρμητικόν · ἐὰν δέ τις αὐτὸ τήξας χρίσῃ τὴν βάλανον τοῦ μορίου, καὶ εὔχροιαν καὶ σύλληψιν ἐργάζεται παραχρῆμα.

ΠΕΡΙ ΚΩΒΙΩΝ ἤτοι ΚΟΒΕΝΩΝ

9] Κωδιῶν ὁ ζωμὸς συγκερασθεὶς σὺν γάλακτι λύσιν κοιλίας ἐργάζεται.

ΠΕΡΙ ΚΙΧΛΗΣ

10] Κίχλης ὁ ζωμὸς κοιλίαν μαλάσσει καὶ εὐπεψίαν παρέχει καὶ διεγείρει πρὸς συνουσίαν καὶ γάλα φέρει ταῖς θηλαζούσαις.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΚΑΡΙΔΟΣ >

11] Karis marina, i. gammarus circumligata scorpione percussos sanat. Similiter si superscribas percusso loco : « Karis », citius tollit dolorem : hujusce modi efficaciam habet.

11 *bis*] Si quis vero sculpserit karida in lapide achate, et gesserit in annulo, non percutietur a scorpione unquam.

ΠΕΡΙ ΚΑΡΚΙΝΟΥ

12] Καρκίνοι ποτάμιοι λεῖοι ποθέντες σὺν γάλακτι αἰγείῳ θεραπεύουσιν σκορπιοπλήκτους καὶ διψάδος καὶ κεράστου δήγματα ἰῶνται.

13] Σὺν οἴνῳ δὲ μέλανι ἐν πότῳ δοθέντες γυναιξὶ δυστοκούσαις ὠκυτοκίαν ποιοῦσιν.

14] Λεῖοι δὲ ἐπιτεθέντες βελοτρώτοις ἐξάγουσι τὰς ἀκίδας τῶν βελῶν καὶ σκόλοπας καὶ ἀκάνθας (f. 116 r.) καὶ ὅσα τοιαῦτα.

7. κωβέων A *bis*.
9. κίχλας A *bis*.
19. Réd. de S : Τνα'. Καρκίνοι ποτάμιοι καέντες, ἡ τέφρα πινομένη λυσσοδήκτους καὶ ὑδροφόβους ἰῶνται. Θυμιώμενοι δὲ ξηροὶ γυναικὶ δυστοκούσῃ εὐτοκίαν παρέχουσιν. Ἐπιτεθέντες δὲ λεῖοι ἐξάγουσι ἀκάνθας καὶ σκόλοπας καὶ ἀκίδας καὶ βέλη καὶ τὰ τοιαῦτα.
21. ἶαται A ; sanant v. i.

13] Σὺν κηρῷ δὲ ἐπιπλασθέντες χείμετλα ἰῶνται.

14] Καρκίνος θαλάσσιος ὠμὸς σὺν μολίβδῳ κεκαυμένος τριβεὶς καρκινώματα ἰᾶται.

15] Ἡ δὲ τέφρα αὐτοῦ μετ' ἐλαίου ὀμφακίνου ἐπιτεθεῖσα χείμετλα καὶ ποδάγρας ὠφελεῖ σὺν κηρωτῇ ἐπιτεθεῖσα.

ΠΕΡΙ ΚΑΡΑΒΟΥ

16] Κάραβος ὀπτὸς ἐσθιόμενος στομαχικοὺς ὠφελεῖ.

17] Τὸ δὲ ἀπόζεμα αὐτοῦ σὺν οἴνῳ πινόμενον νεφροὺς καὶ δυσουρίαν ἰᾶται καὶ κοιλίαν φέρει.

< ΠΕΡΙ ΚΟΧΛΙΩΝ ΘΑΛΑΣΣΙΩΝ >

18] Κοχλίων θαλασσίων ὁ ζωμὸς καὶ ἀχάρνων καὶ φωκίδων καὶ ἀφυᾶς καὶ λεπάδων κοιλίαν σκληρὰν γενομένην μαλάσσει καὶ ἀπαλύνει.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΚΗΡΥΚΩΝ >

19] Kirykes marini circumligati nuper enixae mulieri mammarum dolores et tumores sedant.

20] Cinis autem eorum cum melle conspersus lenticulas et tumores in vultu sanat et nascentia [lire pascentia, sc. νεμόμενα?] curat.

21] Cocta vero conchylia et kirykia et comesa prosunt iis qui cicutam vel aconitum biberunt.

22] Et eorum jus percoctum valde prodest his qui nociva farinata (forte l. pharmaca) biberunt.

23] Ungulae vero earum combustae nervos tortos curant.

24] Testae autem eorum combustae solutaeque cum melle tumores genarum et nascentia [lire pascentia?] sanant.

25] Cum aqua vero soluta minutias ossium educunt et carnem recentem nasci faciunt.

26] Caro vero trita cum albo ovi superposita fronti rheumata hemicraniae curat.

< ΠΕΡΙ ΚΟΧΛΙΟΥ >

27] Kochlias, i. limax terrestris, contritus et superemplastratus frontis dolorem et rheuma oculorum sistit, et scrophulas destruit, circumlotus et aurium plagas et rupturas sanat.

28] Nudus autem limax cum manna, i. pyrograno libani solutus et nari immissus, ex ea [lire eo?] sanguinis eruptionem sistit, et matricis sinum clausum aperit.

29] Nudae vero cochleae, postquam sol ascendit medio inter cornua absciso calamo acutissimo, exime quod os habet, involutum byssino panno habe ad omnimodam ophthalmiam. Praegustatio omnis ophthalmiae et faucium gulae, et tussis et cephalalgiae, et quotquot circa caput cervicemque passiones contingunt, non sinit fieri : verum etiamsi sunt, curat circumligatum.

30] Spuma vero cochlearum revellit pilos palpebrarum.

31] Ipse vero cum testis comminutus [lire commixtus?], cum vino et myrrha et dactylis potatus colicos sanat.

32] Cinis vero ceroto superpositus sedem prolapsam sanat.

< ΠΕΡΙ ΛΑΒΡΑΚΟΣ >

1] Labrax piscis est optimus et similis cephalo. Hujus fel cum melle illitum visum acutum praestat, et albulas curat.

2] Venter autem ejus digestionem facit et fortiter edere.

3] Gestatus autem idem facit.

4] Margaritae vero oculorum ejus gestatae ophthalmiam quietant.

5] Lapides vero qui sunt in capite ejus cephalalgiam sanant et hemicraniam, dexter dextro, sinister sinistro.

6] Dentes autem circumligati dentes - mittentibus pueris competunt.

7] In vertice autem ipsius os, superpositum capiti, deglutitas spinas educit.

ΣΤΟΙΧΕΙΟΝ Λ.

ΠΕΡΙ ΛΑΓΩ

8] Λαγὼς ὁ θαλάσσιος λειωθεὶς καὶ περιχρισθεὶς τὰς ἐκπροτιλείσας τῶν βλεφάρων τρίχας οὐκ ἐᾷ αὖθις ἀναβῆναι.

9] Τοῖς δὲ πεπωκόσιν αὐτὸν χηνὸς νεοσφαγοῦς αἷμα θερμὸν πότιζε · ἀντιφάρμακόν ἐστιν τῶν δηλητηρίων.

ADDITION DU VIEIL INTERPRÈTE

< ΣΤΟΙΧΕΙΟΝ Μ. >

< ΠΕΡΙ ΜΑΙΝΙΔΟΣ >

1] Maenidis caput combustum et superpositum ficus et leprosos ungues et rhagadas ani, et thymos curat.

2] Garum autem vel muria pastarum maenidum, apta psoris; et marcores faucium ac depastiones collutum sanat mirabiliter.

3] Ipse vero piscis comestus assus dysuriam et renes sanat, bonum stomachum et digestionem facit.

< ΠΕΡΙ ΜΑΡΙΔΩΝ >

4] Marides combustae, tritae ac superspersae myrmecidas, thymos et acrochordonas eradicant.

5] Cum maratro vero coctae, et jus bibitum lac mulieribus confert.

< ΠΕΡΙ ΜΕΛΑΝΟΥΡΟΥ >

(Ms. S, f. 81 v.) 6] Τνδʹ. * Μελάνουρος ἰχθὺς ἐσθιόμενος ὀπτὸς ὀξυδορκίαν παρέχει.

7] Ὁ δὲ ζωμὸς αὐτοῦ πινόμενος κωλικοὺς στροφουμένους ἰᾶται.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΜΥΩΝ >

8] Myon marinorum coccorum cum smyrninis, et porris et apiis, cum vino potum ischiadicos curat.

4. Cp. Dioscoride, II, 31 : Καὶ τῆς μαινίδος δὲ κεφαλὴ καεῖσα λεία τὰς ἐν δακτυλίῳ τετυλωμένας ῥαγάδας καταπασθεῖσα ἀφίστησι.
Τὸ δὲ γάρον αὐτῆς τὰς ἐν στόματι σηπεδόνας διακλυζόμενον παύει.

10. Cp. ce texte de S : Τνγʹ. Καρίδες θλασθεῖσαι καὶ ἐπιπλασθεῖσαι (f. l. ἐπιπασθεῖσαι) μυρμηκίας καὶ ἀκροχορδόνας καὶ τύλους καὶ ἥλους ἐκριζοῦσιν.

11. Marides] F. l. Smarides (cp. Dioscoride, II, 30). Voir aussi Aristote, *Hist. des animaux*, VIII, 30, p. 607 B 22, et l'Index aristotelicus, de Bonitz, art. σμαρίς. Dans plusieurs manuscrits d'Aristote σμαρίς est remplacé par καρίς. La leçon de S (καρίδες) est très admissible. Le mot θλασθεῖσαι semble même indiquer qu'il s'agit d'un coquillage tel que la squille (καρίς).

< ΠΕΡΙ ΜΥΑΚΩΝ >

9] Mʏᴀᴋᴏɴ cocca [lire concha?] potata ventrem mollit.

10] Testae vero combustae factaeque xeron [lire xerion?], i. desiccatorium pastinacationes sistunt et cicatrices curant.

11] Cum melle vero illitae crassas palpebras tenuant et leucomata, et eundem usum kirykes habent. Oportet autem lavare cinerem aqua.

(Ms. A, f. 116 v.)

ΣΤΟΙΧΕΙΟΝ Ν.

ΠΕΡΙ ΝΑΡΚΑΣ

1] Νάρκα θαλασσία προστεθεῖσα ἐπὶ χρονίων νοσημάτων τῶν περὶ κεφαλὴν πραΰνει τὸ σφοδρὸν τοῦ ἀλγήματος, καὶ ἕδραν δὲ ἐκτρεπομένην <ἣ> προσπίπτουσαν στέλλει προστεθεῖσα παραδόξως.

ΣΤΟΙΧΕΙΟΝ Ξ.

ΠΕΡΙ ΞΥΘΟΥ

1] Ξύθος ἐστὶν ἰχθὺς ἣν ἔνιοι ζμαρίδα καλοῦσι.

2] Ταύτης ταριχείσης ἡ κεφαλὴ καεῖσα ἕλκη στέλλει ὑπερσαρκοῦντα, καὶ νομὰς ἵστησι, καὶ ἥλους καὶ θυμοὺς ἀναλίσκει · σκορπιοπλήκτοις δὲ καὶ κυνοπλήκτοις ὠμὴ ἁρμόζει, καθάπερ καὶ εἰς πάντα ταριχευόμενος.

ΣΤΟΙΧΕΙΟΝ Ο.

ΠΕΡΙ ΟΝΟΥ ΘΑΛΑΣΣΙΟΥ

1] Ὄνος θαλάσσιος ὃν τινες πολύπουν, οἱ δὲ ὀκτάπουν λέγουσιν.

2] Τοῦτον βαλὼν ἐν καινῇ χύτρᾳ ἔτι ζῶντα ἔκζεσον καὶ τὸν ἀπ' αὐτοῦ ἰχῶρα δίδου πιεῖν νεφριτικοῖς, λιθουρικοῖς μετ' οἴνου παλαιοῦ ἐν λοετρῷ, καὶ ἰαθήσονται, καὶ τὸν λίθον ἐξουρήσουσι ψάμμου δίκην λεπτότατον.

1. Cp. Dioscoride, II, 7.

9. Νάρκα, νάρκας, forme dorienne de νάρκη, νάρκης. — Rédaction presque identique dans Dioscoride, II, 17. Réd. de S : Τνε'. Νάρκη θαλάσσιος. Ἐάν τις καύσῃ αὐτὴν καὶ ὡς ξήριον πάσσῃ, τὰς ἐξερχομένας ἕδρας τῶν παιδίων ἵστησι.

10. ἐστρεφομένην A. Corr. e Diosc. — ἣ addidi e Diosc.

22. νεφρικοῖς A. Correxi.

(F. 117 r.)

ΣΤΟΙΧΕΙΟΝ Π.

ΠΕΡΙ ΠΕΛΩΡΙΔΩΝ

1] Πελωρίδες εἰσὶ θαλάσσια ἰχθύδια.

2] Τούτων καὶ παγούρων ὁ ζωμὸς κοιλίαν μαλάσσει μετ' οἴνου πινόμενος.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΠΝΕΥΜΟΝΟΣ >

3] Pulmonarius, i. cinus marinus superpositus pedibus podagricis et chimethla sanat.

4] Fecit autem crebro omnia volatilia coeli super se convolare, ut cum comedatur ab iis, eos capiat.

5] Fumigata vero ossa ejus avertunt omnia mala, sicut et stella, i. aster.

< ΠΕΡΙ ΠΗΛΑΜΥΔΟΣ >

6] Pelamydis intestina cum capite combusta superspersa pasturas sanant.

< ΠΕΡΙ ΠΕΡΚΗΣ >

7] Percae cinis superspersus ulcerum putredines et oris sanat.

< ΠΕΡΙ ΠΕΤΡΕΩΣ? >

8] Petreos jus cum pipere comestum stomachicis prodest et dysuriam curat; nam ejus jus optimum valde est.

ΣΤΟΙΧΕΙΟΝ Ρ.

ΠΕΡΙ ΡΑΦΙΔΟΣ

1] Ῥαφίς ἐστιν ἰχθὺς ἡ καλουμένη βελονίς.

7. Le § 3 traduit le texte suivant de Dioscoride, (II, 39) : Πνεύμων θαλάσσιος πρόσφατος λεανθεὶς ποδαγριῶντας καὶ χιμεθλιῶντας ὠφελεῖ καταπλασσόμενος.

21. Réd. et add. de S (trad. par le v. i.) : Τνϛʹ. Ῥαφίς, οἱ δὲ βελονίδα, ἰχθύς ἐστιν ἔχων στόμα μακρὸν ἐοικὸς σφυραίνῃ.

Ταύτης τὸ στόμα φορούμενον καὶ θυμιώμενον δαίμονας ἀπελαύνει.

Add. du v. i. seul : Piscis autem totus tritus cum irino unguento alopeciam virtuose inspissat.

L'art. suivant du ms. S, omis par le ms. A et par le v. i., concerne le scorpion de mer : Τνζʹ. Σκορπίον θαλάσσιον πνίξας ἐν οἴνῳ δὸς πιεῖν τὸν οἶνον σπληνικοῖς καὶ ἄκρως ἰῶνται.

Ἐὰν δὲ γυναικὶ δώσεις πιεῖν, αἷμα ἵστησι παραχρῆμα.

Εἰ δὲ θέλεις στῆσαι τὴν αἱμορραγίαν, τὸν σκορπίον ὀπτήσας δὸς φαγεῖν, καὶ στήσεται.

2] Τοῦτο καὲν καὶ λειοτριβηθὲν μετὰ ἰρίνου μύρου ἀλωπεκίας τριχοφυεῖν ἀναγκάζει. Ὡς μέγα δῶρον καὶ ἴαμα!

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΡΙΝΗΣ >

3] Rinas, i. ranae pellis combusta et trita cum aqua superposita et illita nascentia [lire pascentia?] sanat.

ΣΤΟΙΧΕΙΟΝ Σ.

ΠΕΡΙ ΣΑΛΠΗΣ

1] Σάλπης οἱ ἐν τῇ κεφαλῇ λίθοι φορούμενοι ὁ μὲν δεξιὸς ἔντασιν μεγίστην ποιεῖ, ὁ δὲ εὐώνυμος τὸ ἐναντίον.

2] Τὸ δὲ στέαρ χριόμενον ἡδονικόν ἐστι κάλλιστον ἐν συνουσίαις πάνυ.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΣΑΥΡΟΥ >

3] Sauri piscis fel litum mammis lac multum confert.

< ΠΕΡΙ ΣΗΠΙΩΝ >

(Ms. S, f. 81 v.) 4] Τνη΄. Σηπίας ὄστρακον τραχέα βλέφαρα σμήχει καὶ τρίχας λεπτύνει τὰς τοῦ σώματος, ὡς καὶ ἡ κίσσηρις. Λάμβανε δὲ αὐτὸ εἰς τοὺς αἰγιαλούς· καὶ λευκώματα καθαίρει συχνῶς ὡς ξήριον ἐπιπασσόμενον.

ADDITION DU VIEIL INTERPRÈTE

< ΠΕΡΙ ΣΥΝΑΓΡΙΔΟΣ >

5] Synagridos dentes faciunt ad ortum dentium et ad omnem dolorem dentium.

6] Fel quoque ejus cum oleo amygdalino dolorem dentium sedat.

16. L'art. additionnel de S est traduit jusqu'au mot αἰγιαλούς par le v. i., qui continue ainsi : Ebullita vero et comesta vesicam, renes et dysuriam sanant. — Cp. Dioscoride, II, 23.

< ΠΕΡΙ ΣΑΡΓΟΥ >

7] Sargi dentes gestati omnem dolorem dentium avertunt.

ΣΤΟΙΧΕΙΟΝ Τ.

ΠΕΡΙ ΤΡΙΓΛΑΣ

1] Τρίγλας εἴ τις τὸ γένειον κείρῃ ἔτι ζώσης αὐτῆς, αὐτὴν δὲ ζῶσαν ἀπολύῃ ἐν τῇ θαλάσσῃ ἀπελθεῖν καὶ δώῃ ἐν ποτῷ γυναικί, ἐρωτικὴν ἐπάγει μεγίστην συμπάθειαν καὶ φιλίαν.

2] Φορούμενον δὲ ἐπιτυχίαν παρέχει πρὸς πᾶν πρᾶγμα.

3] (Ms. A, f. 117 v.) Εἰ δέ τις τοὺς ὀφθαλμοὺς αὐτῆς λειώσας χρίσῃ τινὸς ὀφθαλμούς, ἀμβλυωπήσει παραχρῆμα. Ἡ λύσις δὲ τούτου · ἡ χολὴ [τοῦ ἰχθύος σὺν μέλιτι χριομένη ὀξυωπίαν παρέξει εἰσέτι.

. . . .

ΠΕΡΙ ΤΡΥΓΟΝΟΣ

4] Τρυγόνος θαλασσίας κέντρον εἰς δένδρον πηγνύμενον ξηραίνει αὐτό. Εἰ δὲ εἰς οἰκοδομουμένην οἰκίαν ἢ εἰς πλοῖον κεῖται, ἀστοχίαν δηλοῖ · ἔστι γὰρ κατὰ πάντα αἴτιον βλάβης μεγάλης.

ΣΤΟΙΧΕΙΟΝ Υ.

ΠΕΡΙ ΥΔΡΟΥ

1] Ὕδρος ἐστὶν ὄφις τὰ πολλὰ ἐν τοῖς ὕδασι διαιτώμενος, παρὰ λίμναις νηχόμε-

12. Addition du v. i. : Trigla tota combusta et cum melle soluta et superposita carbones eradicat perfecteque curat.

Jecur autem ejus superpositum trigonos (lire trygonos ou τρύγονος) marini, et draconis et muraenae plagas curat. Necata vero in vino, potoque vino, difficile parturientes juvat.

14. Réd. de S : Τνθ'. Τρυγόνος θαλασσίας τὸ κέντρον ὀδονταλγοῦντας ἰᾶται. Ἐὰν δὲ εἰς δένδρον πήξῃς αὐτὸ, ξηρανθήσεται τὸ δένδρον · ὁμοίως καὶ εἰς οἶκον καὶ εἰς πλοῖον κατὰ π. α. βλ. καὶ ζημίας ἐστὶν ἕως οὗ πεπληγμένον ἐστίν.

L'art. suivant du ms. S, omis par le ms. A et par le v. i., concerne le pagre : Τξ'. Φάγρος (Γάγρος ms.) ἰχθύς ἐστιν κάλλιστος. Τούτου τὸ ἐν τῇ κεφαλῇ ὀστοῦν περιαφθὲν τὰς καταποθείσας ἀκάνθας ἐξάγει.

Ἡ δὲ χολὴ αὐτοῦ ὀξυωπίαν παρέχει.

Οἱ δὲ λίθοι τῆς κεφαλῆς αὐτοῦ ὀδονταλγίαν (f. 82 r.) καὶ ὀδοντοφυΐαν ἰῶνται.

15. ἀστοχίαν δηλοῖ]. Rédaction et addition du v. i. : Infortunata fiet et non perficietur, atque si in domo fuerit, aut in navi, impedimentum patietur : est enim per omnia causa malitiae et laesionis.

Verum etiam si dentes dolentes circumpunxeris, sanabit eos. Puis Rhyakinus (Rivinus) ajoute :

« N. B. Hic in ms. idem quod p. 144, (lettre Δ, § 6) de draconum centro post trigonis frustra repetebatur. »

νος, ὑπερέχων τῷ στήθει τοῦ ὕδατος, πονηρὸν ζῶον. Οὗτος ἔχει λίθον ἐν τῇ κεφαλῇ. Ἐὰν οὖν τις αὐτὸν ἀγρεύσῃ, εὑρίσκει τὸν λίθον ἐνεχθέντα ἀπὸ τῆς κεφαλῆς.

2] Κρεμασμένου καὶ ἐξορκιζομένου τοῦ ὄφιος, ἵνα τὸν λίθον ἐξεμέσῃ, ὑποθυμιωμένης αὐτῷ δάφνης, καὶ λέγομεν οὕτω · « Μὰ τὸν σὲ κτίσαντα Θεόν, ὃν πολλάκις ἀξιῶ προσκυνήσας τῇ διχῇ σου γλώσσῃ, ἐάν μοι δώῃς (f. 118 r.) τὸν λίθον, οὐ μὴ σὲ ἀδικήσω, ἀλλὰ σὲ ἀποπέμψω εἰς τοὺς ἰδίους σου τόπους. » Καὶ ἐπὰν ἐμέσῃ τὸν λίθον, λαβὼν ἐν ῥάκει ὁλοσηρικῷ, φύλασσε.

3] Τοῦ δὲ λίθου τούτου ἡ δύναμις πειράζεται οὕτω. Γέμισον εἰς χαλκοῦν σκεῦος ὕδωρ, καὶ ἐπίθες τὸν λίθον περιάπτων τῷ ἀγγείῳ · σημείωσον οὖν καὶ εὑρήσεις τὸ ὕδωρ ἑκάστης ἡμέρας <μειοῦσθαι> παρὰ κοτύλας δύο (ὅ ἐστι ὁ ξέστης).

4] Ἐγὼ οὖν ποτε ὑδεριώσῃ γυναικὶ περιῆψα τὸν λίθον καὶ ἀλυπότατα περιεγενόμην τοῦ πάθους. Παπύρῳ γοῦν ἑκάστης ἡμέρας τὴν κοιλίαν αὐτῆς ἐμέτρουν, καὶ παρὰ δακτύλων τεσσάρων δακτύλους < μειούμενον > ἀεὶ τὸ μέτρον ἑκάστης ἡμέρας εὕρισκον · καὶ εἰς τὸ κατὰ φύσιν ἔστησα, καὶ ἀφελόμην. Εἰ γὰρ ἐπιμένει περιαφθεὶς ὁ λίθος, καὶ τὸ ἔμφυτον ὑγρὸν ἐξαναλίσκει καὶ ξηρὸν τὸν φοροῦντα ἀπεργάζεται.

5] (F. 118 v.) Ἁρμόδιος γάρ ἐστιν πρὸς μέτρον περιαπτόμενος οὐ μόνον ὑδρωπικοῖς, ἀλλὰ καὶ ποδῶν ῥεύματα καὶ δακρύων ἐπιφορὰς καὶ καθόλου τὸ ὁτιοῦν μέλος <ἰᾶται>.

6] Ῥευματιζομένους δὲ πόδας ἡ κεφαλὴ τῷ τῆς ἀντιπαθείας λόγῳ τῆς φύσεως θεραπεύει.

7] Τοιαύτην φύσιν τε καὶ ἐνέργειαν οὗτος ὁ λίθος κέκτηται τοῦ ὕδρου ὄφεως τοῦ λεγομένου.

ΣΤΟΙΧΕΙΟΝ Φ.

ΠΕΡΙ ΦΩΚΗΣ

1] Φώκης πυτίαν ἐάν τις περιάψηται, νικήσει πάντας ἀντιδίκους ἐν τῷ δικαστηρίῳ. Ἔστιν γοῦν νικητικὸν καὶ δραστικόν.

2. εὑρίσκει ∾ κεφαλῆς] inveniet lapidem, si exorcizatus fuerit, evomet eum v. i.
6. remittam te ad propinquos tuos v. i.
7. ὁλοσυρίγγῳ A; serico v. i.
9. σημείωσον om. v. i. ubi : sic ergo * inveniesque quotidie, etc.
10. μειοῦσθαι addidi e v. i. (decrescere).
13. F. l. παρὰ δακτύλους τέσσαρας <μειούμενον>... εὕρισκον] decrescebat v. i.
14. γὰρ F. l. δὲ. (inquam v. i.)
22. F. l. τοῦ ὄφεως τοῦ ὕδρου λεγομένου.
26. Réd. de S : Τξα'. Φώκη ζῶόν ἐστιν θαλάσσιον (cp. ci-dessus, p. 76, l. 24). Ταύτης τὸ δέρμα ὅπου ἂν (ἐὰν ms.) ἀπόκειται εἴτε ἐν οἴκῳ, εἴτε ἐν πλ., οὐκ εἰσελεύσεται εἰς αὐτὸ πᾶν κακόν · ἀποστρ. γ. κερ. καὶ πρηστῆρας καὶ χάλαζαν καὶ κινδ. καὶ πνεύματα καὶ δαίμ., θηρία καὶ ἑρπετὰ καὶ φαντάσματα. (Cp. le § 3 du présent article.)

Δεῖ δὲ σ. α. καὶ λίθον κορ. περιάπτειν. (Cp. § 4.)

Réd. et add. du v. i. : Phoca animal est

2] Αἱ δὲ τρίχες αἱ περὶ τὰς ῥῖνας φορούμεναι ἐν τῇ καρδίᾳ ἐπιτευκτικόν εἰσι καὶ χαριτήσιον μέγιστον.

3] Τὸ δὲ δέρμα αὐτῆς κἂν ἐν οἴκῳ καὶ ἐν πλοίῳ ἀποκέηται ἢ φόρηται, οὐδὲν ἐπελεύσεται εἰς τὸν φοροῦντα κακόν· ἀποστρέφει γὰρ κεραυνούς, κινδύνους, βασκανίαν, δαίμονας, λῃστὰς καὶ νυκτερινὰ συναντήματα.

4] Δεῖ δὲ σὺν αὐτῷ ἔχειν λίθον κουράλιον θαλάσσιον.

5] Νῦν δὲ δεῖ μένον.....

(Ms. S, f. 82 r.) 6] * Κασσύματα δὲ ὁ φορῶν ἐκ τοῦ δέρματος ποδαγρὸς ὢν ἰαθήσεται· ὁ δὲ ὑγιὴς ποτε οὐ ποδαλγεῖ.

7] Εἰ δέ τις περιδήσει τὸ κατάρτιον τοῦ πλοίου [κεραυνοὺς] οὐδὲ ναυαγήσει ποτέ.

8] Κεφαλὴν δὲ φώκης ἐὰν χώσῃς μέσον ἀμπελίου, πάντοτε ὁ καρπὸς αὐτοῦ πολὺς ἔσται σφόδρα.

9] Φώκης ὁ ἐγκέφαλος πινόμενος δαίμονας διώκει καὶ ἱερὰν νόσον θεραπεύει.

10] Οἱ δὲ ὀφθαλμοὶ πᾶσαν ὀφθαλμίαν ἰῶνται. Δεξιὸς δὲ ταύτης ὀφθαλμὸς ἀξιέραστον καὶ ἐπιτευκτικὸν ποιεῖ τὸν φοροῦντα.

11] Ἡ δὲ γλῶσσα... (comme au livre II, lettre Φ, § 6.)

12] * Αἱ δὲ τρίχες αἱ περὶ τὰς ῥῖνας φορούμεναι καὶ ἡ καρδία ἐπιτευκτικὸν καὶ χαριτήσιον μέγιστον.

13] Ἐὰν δέ τις τὰς ἐν τῇ ῥινὶ τρίχας μεγάλας καὶ τραχείας οὔσας ἐν ἐλαφείῳ δέρματι δήσας φορῇ, καὶ ἐλεύσεται ἀνὰ μέσον πολεμίων... (la suite comme II, Φ, § 5.)

14] Ἡ δὲ καρδία... (comme II, Φ, § 4.)

15] Αἱ δὲ σάρκες... (comme II, Φ, § 9.)

16] Ἡ δὲ χολή... (comme II, Φ, § 12.)

17] Ἐὰν δέ τις... (comme II, Φ, § 14.)

marinum de quo sæpe dictum est.

Hujus adeps fumigatus continue lethargicos juvat et matricis angustias.

Coaguli vero phocae quantum magnitudo orobi potum quartanam patientes sanat; et opisthotonum quoque potum similiter curat.

— Après le § 1 : Corrigiam vero ejus si liges circa phialam, desque bibere his, qui a cane rabido morsi sunt, vel lymphatico, mox sanabitur.

Vient ensuite notre § 2.

7. Les mots νῦν δὲ δεῖ μενον (*sic*) terminent le fol. 118 du ms. A. Le folio suivant manquait sans doute dès avant la reliure, qui est assez ancienne. Le folio 119 commence avec le mot ἀνορεξίαν (p. 124, l. 4). Cette lacune est heureusement comblée partie par le vieil interprète latin, partie par le ms. S.

11. Cp. le livre II, lettre Φ, §§ 2 et 13.

16. Ci-dessus, page 77, l. 3. πᾶν μὲν] πάντα S.

19. Page 77, l. 19. ἐνδήσῃ] δήσῃ S. — L. 20. ἢ φωκείῳ om. S.

< ΣΤΟΙΧΕΙΟΝ Χ. >

[ΠΕΡΙ ΧΑΝΝΟΥ]

(F. 82 v.) 1] * Χάννος ἐστὶν ἰχθὺς θαλάσσιος. Ὀπτὸς ἐσθιόμενος ὀξυδορκίαν παρέχει.

[ΠΕΡΙ ΧΕΛΩΝΗΣ]

2] Τξϐ'. * Χελώνης θαλασσίας τὸ αἷμα παντὸς θηρίου ἐστὶν ἀντιφάρμακον καὶ πάντας θηριοδήκτους ἰᾶται ξηρὸν πινόμενον.

3] Τὰ δὲ ᾠὰ αὐτῆς βιϐρωσκόμενα ἐπιληπτικοὺς καὶ σεληνιακοὺς ἰῶνται.

ADDITION DU VIEIL INTERPRÈTE

4] Urina quoque ejus sexus potata morsos ab aspide vel echidna sanat.

5] Chelones quoque terrestris sanguis potus epilepticos curat et ab echidna vel scorpione percussos summe juvat. Perunctus vero capiti alopeciam sanat et furfures abluit.

6] Cum spolio serpentis et aceto solutus, dolores aurium et usturas sanat.

7] Fel ejus cicatrices et leucomata cum melle summe juvat.

8] Tota vero combusta et cum melle sumpta vetustissima leucomata mundat continue, et dolorem, nubeculasque, illita sanat ; et cum butyro veteri solutum carbunculos curat.

9] Chelones palustris, qui dicitur Emylus (l. ἐμὺς ἕλειος), sanguis hemicraniam et omnem capitis dolorem sanat, illitus fronti.

10] Cinis vero ejus cum ceroto ro. superillitus igni combusta erysipelata calidasque podagras summe sanat. — Cinis vero superspersus cunctam sanguinis eruptionem sistit et narium et plagarum.

11] Sanguis autem palustris testudinis superlitus capiti veteres cephalalgias summe sanat.

12] Marinae vero echea (l. echidna) percussos juvat et potus, et illitus ulceribus.

13] Cum pultibus vero conditus et potus orthopnoeam sanat et eos qui nocivum aliquid sumpserunt.

2. χαννος] χάνος S. (art. sans n°.)
7. Réd. du v. i. :... et omnis ferae morsos ab aspide magnifice sanat.

10. Les mots ejus sexus, traduction probable du mot ὁμοφυής, se rapportent à la χελώνη θαλασσία, par opposition à la χ. χερσαία.

14] Chelonitides lapides gestati cum radice paeoniae compotem summe faciunt.

15] Fel autem illitum omnem caliginem abjicit.

16] Epar ejus bibitum ictericos sanat.

[ΠΕΡΙ ΧΕΛΙΔΟΝΟΣ ΘΑΛΑΣΣΙΟΥ]

17] Τξγ΄. Χελιδὼν θαλάσσιον ἰχθύδιόν ἐστιν μικρόν, ὥστε εὐθὺς ἱπτάμενον ὑπεράνω τῶν κυμάτων ἐν ταῖς ζάλαις· τοῦτο γὰρ ἀνιπτάμενον καὶ εἰσδυόμενον, ἐννοοῦσιν οἱ ναῦται ὡς ὅτι ἄνεμον καὶ ζάλην μηνύει.

18] Ταύτην δὲ ἐάν τις πιάσῃ καὶ ξηράνας φορῇ, ἔσται δρομαῖος καὶ ταχὺς καὶ ἐπιτευκτικός.

[ΠΕΡΙ ΧΕΙΛΩΝΟΣ]

19] Τξδ΄. * Χείλωνος ἰχθύος τὸ στέαρ μετὰ χυλοῦ τήλεως λειωθὲν καὶ χρισθὲν τὰς ἐν χέλεσιν ῥαγάδας ἰᾶται.

[ΠΕΡΙ ΧΡΥΣΩΧΟΥ]

20] * Χρυσωχοῦ ἰχθύος οἱ ἐν τῇ κεφαλῇ λίθοι περιαπτόμενοι φθισικοὺς ἰῶνται.

ADDITION DU VIEIL INTERPRÈTE

21] Fel autem ejus inunctum membro cum unguento libidinem et delectationem in coitu praestat.

22] Oculi vero tertianam et omnem ophthalmiam sanant.

< ΣΤΟΙΧΕΙΟΝ Ψ. >

[ΠΕΡΙ ΨΑΡΩΝ]

1] Pari, i. pisces optimi, qui frequenter esi pulchritudinem faciunt et bonum stomachum praestant.

< ΠΕΡΙ ΨΥΛΛΩΝ >

2] Τξε΄. * Ψύλλους θαλασσίους μετὰ φυλλίου βοτανίου (f. 83 r.) ἐὰν ἀποζέσῃς ἐν ὕδατι θαλασσίῳ καὶ ῥάνῃς οἶκον ἔχοντα ψύλλους, οὐκέτι γίνονται.

. . . .

6. ἱπτάμενον] ἡπτανώμενον S.
15. χρυσωχοῦ] Chrysophri v. i. F. l. χρυσωποῦ. — φυσικοὺς S. — Correxi e v. i.

27. Addition du v. i. : Si psyllium [l. psyllum] marinum ferat piscator, multam obtinebit piscationem.

ΣΤΟΙΧΕΙΟΝ Ω.

[ΠΕΡΙ ΩΩΝ]

1] Τξϛ΄. * Τὰ <ᾠὰ> ἰχθύων ταριχευθέντα πάντοτε ἔσθιε καὶ μάλιστα τῶν κεφάλων καὶ τῶν λαβράκων, καὶ τῶν ὁμογενῶν, ὅτι πᾶσαν ἀνορεξίαν λύουσι.

(Ms. A, f. 119 r.) 2] Πρόσφατα <καὶ> τεταριχευμένα ἐσθιόμενα πᾶσαν ἀηδίαν ἰῶνται.

3] Καὶ ταῦτα μὲν ἡ θεία φύσις ἐπ' ὠφελείᾳ τῶν ἀνθρώπων ἐδωρήσατο πᾶσιν ἀερίοις τε <καὶ> καταχθονίοις καὶ ἐνύδροις ζώοις, ἵνα μηδὲν ἀδωροδόκητον καταλίπῃ τῷ βίῳ.

4] Ἔτι μὲν ἀλλὰ καὶ λίθοις καὶ φυτοῖς καὶ βοτάναις καὶ ὕδασι τὴν ἑαυτῆς δύναμιν ἡ μακαρία φύσις ἐνεδέξατο καὶ τὰ μὲν ἀναγκαῖα δώρῳ ἡμῖν ἐχαρίσατο ὧν χωρὶς ζῆν οὐκ ἐνδέχεται, οἷον ὕδωρ, πῦρ, οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ἀνάγκην τῆς ζωῆς, ὅτιπερ εἰς τὸν μὲν ἀέρα, ἥλιόν τε καὶ ἡμέραν καὶ τούτων ἀκόλουθα. Τὰ δὲ οὐκ ἀναγκαῖα τῷ βίῳ δυσπόριστα μάλιστα ἔθηκεν, ἵνα ὅπερ ἐλλείπει τῷ ἀναγκαίῳ τούτῳ ἃ παραζητεῖται, οἷον οἱ τίμιοι λίθοι καὶ τὰ μέταλλα, περὶ ὧν ἑξῆς διελευσόμεθα. Πρῶτον δὲ περὶ τῶν ἐν τῇ <γῇ> μετάλλων τὴν ἱστορίαν ποιήσομεν Θεοῦ ἡγήσει καὶ ἐνεργείᾳ.

Ἀμήν · τέλος · ἀμήν · ἀμήν.

4. ἀνορεξίαν λύουσι]. Voir p. 121, l. 7, note.
8. καταλίπῃ τῷ βίῳ]. Derniers mots traduits par le vieil interprète.
16. τῶν ἐν γῇ μετάλλων I. — τὴν ἱστορίαν ποιήσομαι I; derniers mots des Cyranides dans ce manuscrit.

DAMIGÉRON

I

EXTRAITS DES GEOPONICA

(II, 30) ΠΕΡΙ ΔΙΑΜΟΝΗΣ ΚΡΙΘΩΝ, ὥστε ταύτας ὑγιεῖς ἐν τοῖς ὡρείοις φυλάττεσθαι ἐπὶ πλεῖστον χρόνον.

1] Τηρήσει τὰς κριθὰς ἀβλαβεῖς δάφνης καρποφόρου φύλλα ξηρὰ καὶ πᾶσα τέφρα, μάλιστα δὲ ἡ ἀπὸ τῶν ξύλων τῆς δάφνης, ἐντιθεμένη.

2] Ὁμοίως δὲ τὰς κρίθας καὶ ἡ ἀείζωος βοτάνη ξηραινομένη καὶ μετὰ καλαμίνθης σὺν γύψῳ ἀναμιγνυμένη ταῖς κρίθαις.

3] Ἔνιοι δὲ ὄξους ἀγγεῖον πληρώσαντες καὶ πωμάσαντες ἐν μέσῳ τιθέασι τῶν κριθῶν.

4] Εἰδέναι δὲ χρὴ ὅτι αἱ κριθαὶ παλαιούμεναι πικραὶ γίνονται.

(II, 31) ΠΕΡΙ ΔΙΑΜΟΝΗΣ ΑΛΕΥΡΟΥ

1] Τὰ ἄλευρα ἀβλαβῆ διαμένει ἐπὶ χρόνον, δαδίων λιπαρῶν συγκοπέντων καὶ ἐμβληθέντων εἰς αὐτά.

2] Τινὲς δὲ κύμινον καὶ ἅλας ἐξ ἴσου τρίψαντες καὶ μάζας ποιήσαντες ξηρὰς ἐντιθέασιν εἰς τὰ ἄλευρα.

(V, 21) ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΑΜΠΕΛΩΝ ΕΠΙΜΕΛΕΙΑΣ

1] Τῶν ἄρτι φυτευθεισῶν ἀμπέλων τὸ περιττεῦον ἀποτέμνειν δεῖ, οὐ λοξῇ τομῇ, οὐδὲ πλησίον τοῦ ὀφθαλμοῦ, ἀλλὰ ἀπέχουσαν πλέον δακτύλων δύο, μὴ πρὸς

1. Geoponica, sive Cassiani Bassi scholastici de re rustica eclogae. Recensuit H. Beckh. Lipsiae, Teubner, 1895, in-12. (Bibliotheca teubneriana.)

βορρᾶν, ἀλλὰ πρὸς μεσημβρίαν, ὄπισθεν τοῦ ὀφθαλμοῦ τὴν τομὴν γινομένην, ἵνα μὴ τὸ καταρρέον ἐξ αὐτῆς δάκρυον βλάπτῃ τὸν ὑποκείμενον ὀφθαλμόν.

2] Ἐὰν δὲ τὸ ὑγρὸν τοῦτο ἐνοχλῇ, χρίε τὴν τομὴν ἀμόργῃ ἑφθῇ ἀνάλῳ. Τοὺς δὲ ὀφθαλμοὺς γυρωτέον δεύτερον, εἶτα δὲ καὶ τρίτον. Τινὲς δὲ καὶ κόπρον προσεμβάλλουσι.

3] Τῷ δευτέρῳ ἔτει τοῖς ἓξ μησὶ κατὰ μῆνα σκαπτέον. Τριετεῖς δὲ ἀρχομένας γίνεσθαι τὸ ἐπιπολῆς περιττὸν πρίζοντα ἐπιμελῶς περιαιρεῖν χρὴ καὶ μετὰ τὸ μετόπωρον κοπρίζειν διὰ βάθους ποδός.

4] Τὰς μέντοι ἐν τοῖς ὑγροτέροις τόποις ἀμπέλους γυρώσομεν, καὶ τὰς ἐπιπολαίους ῥίζας ἐάσομεν, ἵν' ἐπειδὴ διὰ τὴν πολλὴν ὑγρότητα εἰς βάθος διαμένειν οὐ δύνανται αἱ ῥίζαι ἐπικλυζόμεναι, εἰς πλάτος γοῦν χωροῦσαι διαρκέσαι δυνηθῶσι, τὴν τῆς γῆς δύναμιν μὴ ἐν τῷ βάθει ἔχουσαι, ἐκ πλάτους δὲ ἀνασώζουσαι.

(V, 22.) ΠΟΣΑ ΚΛΗΜΑΤΑ ΚΑΤΑΛΙΜΠΑΝΕΙΝ ΧΡΗ Τῌ ΤΕΤΡΑΕΤΕΙ ΑΜΠΕΛῼ
καὶ ποταποῖς χάραξι προσδεσμεῖν.

1] Τῷ τετάρτῳ ἔτει τῶν νεοφύτων ἱκανὰ τρέφειν δύο κλήματα, οἷς οὐ χρὴ πλεῖον ὀφθαλμῶν δ', καὶ τοὺς μὲν πρὸς τῷ στελέχει β' ἐκτυφλοῦν, ἀποξέοντα τῷ δρεπάνῳ, καὶ κωλύοντα τὴν βλάστησιν, τοὺς δὲ ἀνωτέρω δύο ἀπολιπεῖν εἰς αὔξησιν τοῦ φυτοῦ.

2] Ἔαρος δὲ ἀρχομένου κλαδεύσαντα παραπηγνύναι χάρακα χρὴ ἰσχυράν, ὀρθήν, μῆκος ἀπὸ πέντε ἕως ζ' ποδῶν. Ἔστω δὲ μὴ λεπτοτέρα καλάμου τοῦ γενναιοτάτου, ὅπως μήτε βαρύνοι, μήτε σκιάζοι τὸ φυτόν.

3] Καλλίων δὲ χάραξ ἡ μὴ ἔχουσα φλοιόν, εἰς γὰρ τὴν ἔχουσαν κανθαρίδες καὶ ὅσα εἴωθε λυμαίνεσθαι τὴν ἄμπελον εἰσδύονται καὶ κατακρύπτονται. Παρεκτείναντα δὲ τὸ φυτὸν χρὴ προσδεσμεῖν τῇ χάρακι.

4] Αὐτῇ δὲ τῇ τελείᾳ ἀμπέλῳ ἑξαετῇ γενομένῃ τὴν κλαδείαν εἰς ὤμους γ' ἢ δ' κατὰ τὴν δύναμιν τοῦ φυτοῦ προσακτέον, καὶ ἑκάστῳ κλήματι καὶ ὠμοχάρακα παραστατέον τὴν δυναμένην φέρειν ὁμοῦ τοῖς κλήμασι καὶ τοὺς βότρυας.

(V, 37.) ΠΕΡΙ ΝΟΣΟΥΣΩΝ ΑΜΠΕΛΩΝ

1] Τὴν νοσοῦσαν ἄμπελον τέφρᾳ κληματίνῃ ἢ δρυΐνῃ μιχθείσῃ μετὰ ὄξους καταρραίνων τὸ πρέμνον θεραπεύσεις. Σφόδρα δὲ ὠφελεῖ καὶ τὸ οὖρον τὸ ἀνθρώπειον εἰς τὰς ῥίζας ἐγχεόμενον.

2] Τινὲς δὲ τὰς νοσούσας ἀμπέλους ἐκτέμνουσι παρὰ τὴν γῆν, εἶτα προσχωννύουσιν ἐλαφρῶς τῇ γῇ παρακειμένῃ, μίξαντες ὀλίγην κόπρον, καὶ ὅταν οἱ βλαστοὶ

4. εἶτα] εἶθε edd. Corr. conj. | 14. F. l. ποταπαῖς. (Cp. l. 18.)

φύωσι, τοὺς μὲν ἀσθενεῖς περικαθαίρουσι, τοὺς δὲ εὐγενεῖς ἐῶσι, καὶ πάλιν τῷ ἑξῆς ἔτει τὸν ἐπιτηδειότερον τῶν καταλειφθέντων ἐπιλεξάμενοι τοὺς λοιποὺς περιαιροῦσιν.

(VII, 13), ΑΡΤΥΣΙΣ ΘΑΥΜΑΣΤΗ ποιοῦσα μονίμους τοὺς οἴνους, καλουμένη πανάκεια.

1] Ἔχε ἐν ἑτοίμῳ ταῦτα τὰ εἴδη · ἀλόης γο β', λιβανωτοῦ γο β', ἀμώμου γο β', μελιλώτου γο δ', κασίας γο α', νάρδου στάχυος γο β', φύλλου γο δ', σμύρνης γο β'. Ταῦτα πάντα εἰς ὀθόνιον ἐνδήσας, ἑκάστῳ πίθῳ, μετὰ τὸ ἐμβληθῆναι ἐν αὐτῷ τὸν οἶνον καὶ καταστῆναι, ἔμβαλε κοχλιάριον ἓν καὶ κίνει ἐνρίζῳ καλάμῳ ἐπὶ ἡμέρας γ'.

2] Τινὲς δὲ οὕτως ἀρτύουσι τοὺς οἴνους · κρόκου βάλλουσι γράμματα γ' · οὗτος δὲ εὔχροον ποιεῖ · λιβάνου τοῦ ἄρσενος σεσησμένου δραχμὰς δ' · οὗτος αὐστηρὸν τὸν οἶνον ποιεῖ · φύλλου σφαιρίον ἕν · εὐωδίαν γὰρ παρέχει · ἕκαστον τούτων διακεκομμένον καὶ σεσησμένον μίξας, καὶ πάλιν σήσας ἔμβαλε εἰς ἕκαστον ἀμφορέα κοχλιάρια β', ἐπειδὰν μηκέτι ζέῃ ὁ οἶνος, ἀλλὰ καταστῇ.

3] Καὶ ἐπὶ πάντων τῶν οἴνων τοῦτο ἰδικῶς παρατήρει ὅπως καθεστῶτας αὐτοὺς ἀρτύῃς.

4] Ἕτεροι δὲ ἀρτύουσι τοὺς οἴνους οὕτως · καρδαμώμου, ἴρεως ἰλλυρικῆς, κασίας, νάρδου στάχυος, μελιλώτου, ξυλοβαλσάμου, σχοίνου ἀλεξανδρίνης, κόστου, νάρδου κελτικῆς, πάντα ἴσα κόπτουσι καὶ σήθουσι καὶ ἐμβάλλουσι τῷ οἴνῳ.

5] Τινὲς δὲ γλεῦκος ἑψοῦντες καὶ ἀποτριτοῦντες μιγνύουσι τῷ οἴνῳ. Τινὲς δὲ γύψον ἐμβάλλουσιν.

VII, 24.) ΟΙΝΟΝ ΝΕΑΚΑ ΠΑΛΑΙΟΝ ΠΟΙΗΣΑΙ

1] Ἀμυγδάλων πικρῶν, ἀψινθίου, πίτυος καρπίμου κόμης, τίλεως, μετὰ τὸ φρυγῆναι συγκοπέντων κύαθον τῷ ἀμφορεῖ μίξας, παλαιοφανεῖς καὶ μονίμους οἴνους ποιήσεις.

2] Ποιήσεις δὲ παλαιοφανεῖς τοὺς οἴνους ἐὰν λαβὼν κεράμια δύο κοῦφα ἀπὸ οἴνου παλαιοῦ, ἀφελὼν αὐτῶν τὰ ὦτα καὶ χείλη, καὶ τοῦ πυθμένος τὰ ἄκρα, τὰ μὴ μεταλαβόντα τοῦ οἴνου ἀπορρίψῃς · τὸ δὲ ἄλλο ἐὰν δεῖ σὺν τῇ παλαιᾷ τρυγὶ τοῦ οἴνου · κατεάξας τε καὶ σήσας ἔμβαλε εἰς ἕκαστον ἀμφορέα ἡμιμόδιον, καὶ ἀνατάραξον τὸν οἶνον, καὶ περιχρίσας ἔασον ἡμέρας δεκαπέντε, εἶτα ἀνοίξας χρῶ, καὶ δόξεις εἶναι τὸν οἶνον ἐτῶν δέκα.

3] Ἀναλωθέντος δὲ τοῦ οἴνου, τὴν τρύγα βάλε εἰς κύθραν καινήν, καὶ περιχρίσας ὀπτήσας τε καὶ κόψας καὶ σήσας πάλιν τῷ αὐτῷ τρόπῳ, χρῶ · ἀντὶ γὰρ πάντων ἀρωμάτων τῶν προειρημένων ἡ τοιαύτη τῶν ὀστράκων χρῆσις ἀρκέσει.

4] Τινὲς δὲ οὕτω ποιοῦσι παλαιοφανεῖς τοὺς οἴνους · μελιλώτου γο α΄, γλυκυρίζου γο γ΄, νάρδου κελτικῆς τὸ ἴσον, ἀλόης ἡπατίτιδος γο β΄ · κόψαντες καὶ σήσαντες ἐμβάλλουσιν εἰς τὸν οἶνον, καὶ οὕτω χρῶνται.

(IX, 18.) ΠΩΣ ΔΥΝΑΤΟΝ ΔΙΧΑ ΕΛΑΙΩΝ ΓΕΝΕΣΘΑΙ ΕΛΑΙΟΝ

1] Τοῦ κάρπου τῆς τερεβίνθου ἐν τῷ μύλῳ καθάπερ ἡ ἐλαία ἀλουμένου καὶ ἐκπιεζομένου γίνεται ἔλαιον · καὶ ἡ πυρίνη ποιεῖ εἰς βρῶσιν χοίρων, καὶ εἰς καῦσιν.

2] Ποιεῖ ἔλαιον καὶ σήσαμος καὶ τὸ καρύον, περιαιρεθέντων τῶν κελύφων, καὶ αὐτὰ δηλονότι ἐκπιεζόμενα.

(IX, 26.) ΕΛΑΙΟΝ ΣΠΑΝΩ ΟΜΟΙΟΝ ΠΟΙΗΣΑΙ

1] Ἐλαίῳ καθαρῷ ἀπὸ πάσης ἀμόργης ἄγαν ὑπερζέοντι τριπλάσιον ὕδατος μὴ ἄγαν ὑπερζέοντος καὶ ἅλας ὀλίγους κεκομμένους καὶ λελειωμένους πάνυ ἐπίβαλε, καὶ κινήσας καὶ συνταράξας ὡς διὰ παντὸς τὴν μῖξιν γίγνεσθαι, ἔασον διάστημα ἐφ᾽ ἡσυχίας ἕως ἂν εἰς τρόπον ἀμόργης ὑφιζήσῃ τὸ συμβληθὲν ὕδωρ.

2] Εἶτα τῷ προειρημένῳ σκεύει, τουτέστι κόγχῃ, τὸ ἐφιστὰν τὸ ἔλαιον ἀφελών, πάλιν ὁμοίως σὺν ὕδατι χλιαρῷ κινήσας, καὶ τὸ αὐτὸ ποιήσας, ἄφελε λοιπὸν καθαρὸν τὸ ἔλαιον.

3] Εἶτα χυλὸν φύλλων τῆς ἐλαίας ἁπαλῶν συγκοπέντων συμμίξας, ἵνα δριμύτητά τινα καὶ πικρότητα ἀπ᾽ αὐτῶν λάβῃ, καταστάντι τῷ ἐλαίῳ, μετὰ τρεῖς ἡμέρας ἢ καὶ αὐθημερὸν χρῶ.

4] Ἄλλοι δὲ ἔλαιον ὀμφάκινον, ἢ ἄλλως καλόν, εἰς ἴγδιν βαλόντες ἐπιχρίουσι. Καὶ ὅταν χρεία ᾖ, ὡς σπάνῳ χρῶνται τῷ ἐλαίῳ.

(X, 12.) ΕΤΕΡΟΝ ΠΕΡΙ ΦΥΤΕΙΑΣ ΨΙΤΤΑΚΙΩΝ

1] Ψιττάκια σπείρεται περὶ καλανδῶν ἀπριλλίων, ἄρρεν καὶ θῆλυ συνηρμοσμένα τὰς φύσεις, τοῦ ἄρρενος τὰ νῶτα πρὸς τὸν ζέφυρον ἔχοντος · οὕτω γὰρ τὸν καρπὸν εὐφορήσουσι πλήρη.

2] Ἐπικεντρίζεται δὲ κατὰ τὸν αὐτὸν καιρὸν εἴς τε τὸ ὁμογενὲς καὶ εἰς τερέβινθον, οἶμαι δ᾽ ὅτι καὶ εἰς ἀμυγδαλᾶς.

3] Ὁ δὲ Πάξαμός φησιν ὅτι δεῖ βόθρον προποιῆσαι εἰς τόπους εὐηλίους καλῶς εἰργασμένους, καὶ λαβεῖν δένδρων μοσχεύματα ἀκμαῖα, νέα, καὶ ταῦτα συνδῆσαι

22. ψιτταχίων. — L. 23. ψιττάκια]. F. l. πιστακίων, πιστάκια. Cp. H. Estienne, Thesaurus l. gr. éd. Didot, art. ψιττάκιον, où sont réunis des exemples de ces deux leçons et de φιστάκιον.

ὁμοῦ, καὶ καταθέσθαι ἐν τῷ βόθρῳ, σελήνης δευτέρας οὔσης, καὶ ἀπὸ τῆς γῆς σφίγξαι ἄχρι τῶν κλάδων αὐτά, καὶ κοπρίσαι τὸν βόθρον, ἐπιχῶσαί τε καὶ γυρῶσαι, καὶ ἐπιμελεῖσθαι ποτίζοντας παρ' ἡμέρας η' καὶ διὰ τῶν ἴσων ἐπισφίγγειν πάλιν · ὅταν δὲ τριετῆ γένηται τὰ στελέχη, ὀρύξαι παρὰ τὴν ῥίζαν τοῦ βόθρου εὖ μάλα, καὶ κοπρίσαι καὶ ἐγκαθίσαι τὸ στέλεχος κατώτερον, καὶ ἐπιχῶσαι, ὅπως μεγάλου τοῦ δένδρου γενομένου καὶ ἰσχυροῦ, πνεύσαντος ἀνέμου, μὴ καταπέσῃ τὸ δένδρον.

(X, 63.) ΠΕΡΙ ΚΑΙΡΟΥ ΦΥΤΕΙΑΣ ΚΑΣΤΑΝΩΝ

1] Τὸ κάστανον, ὅ τινες Διὸς βάλανον καλοῦσι, ψαμμώδει γῇ καὶ ψυχροῖς τόποις χαίρει.

2] Φυτεύεται δὲ καὶ διὰ τῶν ἐνρίζων καὶ διὰ σπέρματος · ἀσφαλέστερος δὲ ὁ διὰ τῶν φυτῶν τρόπος · μετὰ γὰρ δύο ἔτη καρποφορήσει.

3] Φυτεύεται δὲ ἀπὸ ἰσημερίας, οὐ μόνον ἀπὸ σκυταλῶν καὶ κλάδων, ἀλλὰ καὶ ἀπὸ παρασπάδων αὐτορρίζων, καθάπερ ἡ ἐλαία.

4] Σπείρεται δὲ τὰ κάστανα οὐχ ὁμοίως τῇ ἀμυγδαλῇ καὶ τῇ καρύᾳ, ἀλλὰ τὸ μείουρον ἄνω ἔχοντα.

(X, 64.) ΠΕΡΙ ΚΑΙΡΟΥ ΦΥΤΕΙΑΣ ΚΑΡΥΩΝ ΚΑΙ ΕΠΙΜΕΛΕΙΑΣ

1] Τὰ κάρυα φυτεύεται τῷ καιρῷ τῆς ἀμυγδαλῆς · φυτεύεται δὲ καὶ ἀπὸ σπέρματος, καὶ ἀπὸ παρασπάδων καὶ μοσχευμάτων · χαίρει δὲ τόποις ξηροῖς καὶ ψυχροῖς μᾶλλον ἢ θερμοτέροις.

2] Εἰ δὲ μέλλεις ἀπὸ σπέρματος φυτεύειν κάρυον, κάλλιον ποιήσεις ἐὰν εἰς ἀγγεῖον ἔχον οὖρον παιδὸς ἀφθόρου τὸ σπέρμα ἐπὶ ἡμέρας ε' ἐμβρέξῃς, καὶ τότε φυτεύσῃς.

3] Λεπτόσαρκον δὲ καὶ εὔθρυπτον τὸ κάρυον ἔσται, ὁμοίως δὲ καὶ τὴν ἀμυγδαλῆν ποιήσεις, σποδὸν τῷ στελέχει καὶ ταῖς ῥίζαις συνεχῶς περιχέων.

4] Θᾶττον δὲ αὐξήσει ἡ καρύα μεταφυτευομένη πολλάκις, μάλιστα δὲ ἐάν τις κυπρίῳ ἥλῳ ἢ πασσάλῳ καθηλώσειε τὸ δένδρον, ἕως διέλθῃ μέχρι τῆς ἐντεριώνης.

5] Εἰ δέ τις διατέμοι τὴν ἐντεριώνην τρυπάνῳ καὶ πάσσαλον πτελέϊνον ἰσομεγέθη ποιήσας διασφίγξει τρυπήσας τὸ δένδρον πέραν, τὰ σκληρὰ καὶ ἀρρενικὰ εὔθρυπτα ποιήσει.

6] Καρύα δὲ τὸν καρπὸν οὐκ ἀποβάλλει ἐὰν φλώμου ῥίζαν καὶ ῥάκος κόκκινον ἀπὸ κοπρίας περιάψῃς.

21. ἔχον] F. l. ἔχων.

26. κυπρίῳ] Κυπρίῳ (*sic*) Beckh. F. l. κυπρίνῳ (de κύπρος, troëne).

(X, 65) ΠΕΡΙ ΕΓΚΕΝΤΡΙΣΜΟΥ ΚΑΡΥΑΣ

1] Τινὲς τῶν γεωργικὰ γραψάντων φασὶν ὡς ἡ καρύα ἐπικεντρίζεσθαι οὐκ εἴωθεν, οὔτε δὲ τὰ λοιπὰ δένδρα τὰ ῥητίνην ἔχοντα, οὔτε αὐτὰ ὑποδέχεσθαι ἕτερον φυτόν, οὔτε εἰς ἕτερα μετατίθεσθαι δύναται.

2] Οὐκ ἔστι δὲ τοῦτο ἀληθές, ὡς ἡ πεῖρα παρέστησε πολλάκις · ἐγὼ γὰρ εἰς τέρμινθον, ἣν οἱ ἐπιχώριοι τερέβινθον καλοῦσι, μάλιστα ῥητίνην ἔχουσαν, πιστάκια πολλάκις ἐγκεντρίσας καὶ ἐμφυλλίσας, ἔσχον μεγάλα δένδρα · καὶ ἔστιν εἰπεῖν πλέον τοῦ ἰδίου φυτοῦ ἐπιδέχεται ἡ τέρμινθος τὸν κατάπηγα τοῦ πιστακίου · καὶ κάρυα δὲ πολλάκις ἐμφυλλίσας καὶ ἐγκεντρίσας ἐπέτυχον.

3] Εἰ γὰρ καὶ μὴ εὐκόλως προσφύεται, ἀλλ᾽ οὖν οὐ χρὴ ὀλιγωρεῖν πρὸς τὴν πρώτην ἀποτυχίαν.

4] Τινὲς δὲ τὴν καρύαν οὕτως ἐγκεντρίζουσι. Μετὰ τὸ σπεῖραι ταύτην, ἐκφῦναί τε καὶ γενέσθαι διετῆ καὶ τριετῆ, ἀνελόμενοι ἔνριζον, τὴν ῥίζαν αὐτὴν τῷ κατὰ σάρκα τρόπῳ ἐγκεντρίζουσι, καὶ οὕτω πάλιν φυτεύουσιν.

5] Ἕτεροι δὲ πρὸ ἐνιαυτοῦ ἐπιλεξάμενοι κλάδον ἀπὸ καρύας, ὅθεν βούλονται ἐγκεντρίσαι, στρέφουσι τοῦτον καὶ λυγίζουσι.

6] Τοῦτο γὰρ παθοῦσα ἡ κορύνη πληρεστέραν τὴν ἐντεριώνην ἕξει, καὶ τὸ ξεσθῆναι ῥᾷον ὑπομένει, καὶ ἐντιθεμένη κρατεῖ.

(XI, 30) ΠΕΡΙ ΦΥΤΕΥΣΕΩΣ ΚΙΣΣΟΥ (§ 4)

1] Ὁ κισσὸς ὕδατι χαίρει · φυτεύεται δὲ πρὸ καλανδῶν νοεμβρίων καὶ ἀπὸ καλανδῶν μαρτίων.

2] Τὸν δὲ κόρυμβον ὁ κισσὸς εὐπρεπῆ ἕξει, ἐὰν τρία κογχύλια καύσας τις, καὶ κόψας, καταπάσῃ, ἢ στυπτηρίᾳ ῥάνῃ τοὺς κορύμβους.

3] Λευκὸς δὲ ἐκ μέλανος γίνεται, γῆς λευκῆς βραχείσης, καὶ ταῖς ῥίζαις τοῦ κισσοῦ ἐπιχεομένης δι᾽ ἡμερῶν ὀκτώ.

4] Δαμηγέρων δέ φησιν · εἴ τις κισσοῦ μέλανος κορύμβους τρεῖς εἰς ὀθόνιον καθαρὸν βάλῃ, καὶ δήσας λίνῳ σπληνικῷ περιάψει ἐφ᾽ ἡμέρας γ´, ἀπαλλάξει τοῦ πάθους τὸν περιαπτόμενον.

(XII, 12) ΠΕΡΙ ΜΑΛΑΧΗΣ, καὶ τῆς ἐξ αὐτῆς πρὸς διάφορα πάθη θεραπείας.

1] Μαλάχη ἐκζεσθεῖσα καὶ καθ᾽ ἑαυτὴν ἐσθιομένη βράγχον παύει · σὺν ἐλαίῳ δὲ καὶ γάρῳ ἐσθιομένη γαστέρα λύειν δύναται.

2] Τὰ φύλλα αὐτῆς τριφθέντα μετὰ φύλλων ἰτέας ἐμπλάστρου πάσης εἰσὶ χρη-

σιμώτερα· φλεγμᾶναί τε γὰρ οὐκ ἐᾷ καὶ ἵστησι τὸ αἷμα, καὶ συνουλοῖ τὸ πρόσφατον τραῦμα, καὶ στρέμματα δὲ καὶ θλάσματα ἰάσεται.

3] Φαλαγγίων δὲ καὶ ἑρπετῶν πληγὰς ἰάσεται, εἰ κρόμυα καὶ πράσα λειώσας μίξεις τοῖς φύλλοις τῆς μαλάχης, καὶ ἐπιθήσεις.

4] Τῷ δὲ τῆς ἀγρίας μαλάχης χυλῷ εἴ τις χρίσαιτο σὺν ἐλαίῳ, οὔτε ὑπὸ σφηκῶν πληγήσεται, καὶ τὸν φθάσαντα πληγῆναι ὁ χυλὸς ἰᾶται. Καὶ τὰ φύλλα δὲ τῆς μαλάχης συγκοπέντα καὶ ἐπιτιθέμενα ἰᾶται τὴν πληγέντα.

5] Ὁμοίως θεραπεύει μαλάχη χριομένη λειχῆνας καὶ τὰ κρυπτὰ πάθη τῶν γυναικῶν.

6] Ὁ δὲ χυλὸς αὐτῆς ἐνσταζόμενος τοῖς ὠσὶ παύει τὴν ὠταλγίαν. Πινόμενος δὲ μετὰ μέλιτος ἰᾶται τοὺς ἡπατικοὺς καὶ ἀνανήφειν ποιεῖ τοὺς ἐπιληπτικούς. Ὁμοίως ὁ ταύτης χυλὸς ἰᾶται νεφριτικοὺς καὶ τοὺς ἰσχιαδικούς.

7] Τὸ δὲ ζέμα αὐτῆς πινόμενον θεραπεύει δυσουρίαν καὶ χρήσιμός ἐστι πρὸς δυστοκίαν.

(XII, 35) ΠΕΡΙ ΣΚΙΜΒΡΟΥ

1] Τὸ σκίμβρον, ὅ τινες σίσυμβρον καλοῦσιν, ὀρέξεώς ἐστιν ἐνεργητικὸν καὶ οὔρων κινητικόν.

2] Χαίρει δὲ ἀέρι εὐκραεῖ καὶ ξηρῷ καὶ τόπῳ εὐηλίῳ μηδαμόθεν ἐνοχλουμένῳ ὑπὸ δένδρων. Τρέφεται δὲ ὑπὸ γῇ καὶ αὔξεται.

3] Σπείρεται δὲ καὶ φυτεύεται, ἀλλὰ ἀπὸ μὲν σπέρματος τῷ τρίτῳ ἔτει δώσει καρπόν. Εἰ δέ τις ἀπὸ τῆς κορυφῆς τῆς ῥίζης, ἐξ ἧς ἔχει τὴν βλάστην, ἥν τινες ὀφθαλμὸν καλοῦσι, φυτεύσει, ἐν αὐτῷ τῷ ἔτει δώσει τὸν καρπόν.

II

EXTRAITS D'AÉTIUS

(II, 12.). . . . .
Ὀνομάζεται δὲ (ἡ ἀρμενιακὴ βῶλος) τῇ ἐκείνων φωνῇ ζαρινακά, κατὰ δὲ τὴν τῶν Συρῶν ζαρινσγά· Τὸ δὲ ὄρος ἐν ᾧ γεννᾶται πόλεώς ἐστιν ὀνομαζομένης Βαγανανά· ὁ δὲ ἀγρὸς ἐν ᾧ τὸ ὄρος ἐστὶ ὀνομάζεται Ἀγαράκ.

24. Textes reproduits d'après Valentin Rose (Hermes, t. IX).

25. V. Rose, l. c., p. 490.

(II, 16.) Λευκογραφὶς ἢ μόροξος............................ ὑπόχλωρος γὰρ γενόμενος οὗτος, εἰ παρατριβείη ἀκόνῃ καὶ ἱματίῳ τραχυτέρῳ, λευκαίνει τὸν τόπον.

(II, 17.) Γαλακτίτης · καὶ οὗτος παραπλησίον τῷ προειρημένῳ χροιὰν ἔχων ὑπόχλωρον, γαλακτώδη χυλὸν ἀνίησι. Ἔστι δὲ σκληρότερος τῆς λευκογραφίδος κατὰ τὸ εἶδος, πολυγάλους [*sic?*] δὲ ποιεῖ τὰς γυναῖκας, ἐὰν λουσάμεναι πίνωσιν ἢ μεθ' ὕδατος ἢ μετὰ γλυκέος οἴνου τετριμμένον τὸν λίθον. Μίγνυται δὲ καὶ ταῖς ὀφθαλμικαῖς δυνάμεσι. Φασὶ δὲ αὐτὸν περιαπτόμενον τῷ τραχήλῳ ὀδοντιώντων βρεφῶν ὀδόντων ἀταλαίπωρον ἔκφυσιν παρασκευάζειν.

(II, 19.) Τηκόλιθος, ὃν συριακὸν καλοῦσιν........................ Ὁ δὲ Νεχεψὼς φησι · Τρίβε τοῦ τηκολίθου μετ' ὕδατος καὶ ποιήσας γλοιοῦ λεπτοῦ τὸ πάχος καὶ ἀποξυρήσας τὰς τρίχας τὰς περὶ τὴν κύστιν καὶ τὸ αἰδοῖον κατάχριε, καὶ τήκει τὸν λίθον τὸν ἐν τῇ κύστει. Ἐπῳδή. Χαῖρε, θάλασσα Ἀράβων φέρουσα πημάτων ἄκος, εὕρημα τηκόλιθον · μετὰ μυρσίνου δὲ ἐλαίου ἀνεθεὶς τοῖς ποδαγρικοῖς ἐπαρκεῖ ἐπιχριόμενος.

(II, 24.) Γαγάτης λίθος · θαυμάσιος οὗτος πυρὶ προσαγόμενος καὶ ἀναπτόμενος, ἔπειτα σβεννύμενος οἴνῳ · ὁ δὲ οἶνος καρδιακοῖς δίδοται εἰς ποτόν · αὐτίκα γὰρ παύονται καρδιαλγοῦντες τοῦ τε ἱδρωτος συσταλέντος καὶ διεγερθέντων τῶν σφυγμῶν. < Ἄλλοι δὲ χνοώδη ποιήσαντες τὸν γαγάτην λίθον ἐπὶ ἑπτὰ ἡμέρας μετ' οἴνου δεδώκασι κωλικοῖς, καὶ τέλεον ἀπηλλάγησαν τοῦ πάθους. Ἡ μερικὴ δόσις δραχμὴ α'. Ἐξ αὐτοῦ δὲ καπνίζοντες τὸ ποτήριον ἔνθα ἐδίδουν μετ' οἴνου ποτίζοντες. > Καὶ ἡ ἄσφαλτος πινομένη τὸ αὐτὸ ποιεῖ ἀπαραβάτως · διώκει δὲ καὶ θηρία θυμιώμενος καὶ ἔμμηνα ἄγει καὶ τὰ δεύτερα. Ἐλέγχει δὲ καὶ τὰς ἐπιληψίας, λύει καὶ χοιράδας λεῖος, μιγνύμενος τοῖς ἐπιτηδείοις φαρμάκοις. Θεραπεύει δὲ καὶ τὰς περὶ τοὺς δακτυλίους διαθέσεις λειότατος γενόμενος καὶ ἑψηθεὶς ὄμφακος χυλῷ εἰς τὸ τρίτον · δύναται δὲ οὗτος καὶ τἆλλα πάντα ῥεύματα < τοῦ σώματος > ἀναστέλλειν.

(II, 25.) Λίθος μαγνῆτις.................................... μετέχει δὲ καὶ ἑλκτικῆς δυνάμεως. Φασὶ δὲ ὡς κατεχομένη τῇ χειρὶ τῶν χειράγρων καὶ ποδάγρων ἀνωδύνους αὐτοὺς ἐργάζεται · < ἴσως δὲ καὶ σπασμοὺς βοηθεῖ. >

4. V. Rose, p. 484-485.
6. F. l. πολυγαλάκτους.
10. V. Rose, p. 489.
16. V. Rose, p. 485-486.
20. τέλεον] F. l. τελέως.
26. V. Rose, p. 488.
27. V. Rose, p. 484.

(II, 30.) Ὁ δὲ ἰνδικὸς τὴν μὲν χροιάν ἐστιν ὑπόπυρρος, ἀνίησι δὲ τριβόμενος πορφυροειδῆ χυλόν· οὔτε πυκνός ἐστι οὔτε καρτερῶς ἀραιός· καὶ δύναται μετ' οἴνου πινόμενος ἀκράτου αἱμοπτυϊκοὺς ὠφελεῖν· ὁ δὲ λευκὸς καὶ σιτοδίζων κατὰ τὴν φαντασίαν καὶ τὰς ἄλλας ἵστησιν αἱμορραγίας.

(II, 33.) Λίθος ἀλαβανδικός, ὁ καὶ ἀλαβανδηνός· τῷ μὲν χρώματι οὗτός ἐστιν ὑπομελανίζων μετὰ τοῦ πυρροῦ, διαυγεῖς δὲ ὡς πῦρ διαφύσεις ἔχων ἢ ῥαγάδας. Οὗτος λεῖος παρατριβόμενος μελαίνει τὴν ἐπιφάνειαν τῶν λευκῶν τριχῶν.
Texte analogue, d'après Archigène, dans Aétius, IV, 58.

(II, 36.) Ἴασπις ὁ ὑπόχλωρος περιαπτόμενος ἀλγήματα στομάχου παύει καὶ παραλύσεων καὶ ὀδυνῶν ἐστὶ πραϋντικός. Ὁ δὲ καπνίας ὀνομαζόμενος ἴασπις [ὁ] χλωρὸς τεθολωμένην <σφόδρα> ἔχων τὴν χροιὰν φυλακτήριόν ἐστι μέγα δυστοκουσῶν γυναικῶν καὶ ὑδερικοῖς ἐπαρκεῖ περιαπτόμενος καὶ τραύματα τὰ μέγιστα τηρεῖ ἀφλέγματα καὶ ἀνωδύνους τοὺς τραυματιζομένους ποιεῖ περιαρτώμενος.

(II, 37.) Ἰασπαχάτης, ἐκ τῆς σμαραγδιζούσης ἐστὶν ἰάσπιδος καὶ τοῦ ἀχάτου· δύναμιν δὲ ἔχει δίψους παρηγορικὴν καὶ ὑδρωπικοῖς βοηθεῖ καὶ ἡπατικοῖς καὶ περιπνευμονικοῖς καὶ πλευριτικοῖς πινόμενος· καὶ τὸ σῶμα ξανθὲς ποιεῖ.

(II, 47.) Ἀρμενιακόν, ᾧ οἱ ζωγράφοι χρῶνται, κομίζεται ἐκ τῆς Ἀρμενίας, ὅθεν καὶ ἡ ἀρμενιακὴ βῶλος, περὶ ἧς προείρηται. . . . .
Ὁ δὲ Νεχεψὼς <οὕτως περὶ> αὐτοῦ φησιν· Ἀρμένιον, ᾧ χρῶνται οἱ ζωγράφοι. Τούτου λαβὼν ὁλκῆς τὸ δωδέκατον δίδου τοῖς μελαγχολικοῖς καὶ τοῖς παιδίοις τοῖς ὑπὸ τοῦ θώρακος ἐνοχλουμένοις, ἀνεμοῦσι γάρ. Ἔστι δὲ ἐμετικόν· δίδονται δὲ καὶ τοῖς ὑπὸ τῆς ἱερᾶς νόσου ὀχλουμένοις καὶ τοῖς μαινομένοις τούτῳ τῷ τρόπῳ. <Λαβὼν> κενταυρίου δεσμίδια χειροπληθῆ τρία ἕψει μεθ' ὕδατος θαλαττίου κοτυλῶν τριῶν, ἕως λειφθῇ κοτύλη μία, καὶ διηθήσας λείου σὺν τῷ ἀφεψήματι ἁρμοῦθεν(?) λίθου τοῦ λεγομένου ὑπὸ Ἑλλήνων ἀρμενίου, ᾧ οἱ ζωγράφοι χρῶνται, ὅσον ὁλκῆς τρίτον δίδου θαρρῶν· ἔστι γὰρ ἀκίνδυνον. <Χρὴ οὖν εἰδέναι ὡς πάντως ἀνεμεῖται τὸ ἀρμένιον μηδὲν ἄξιον λόγου ἀναφέρον καὶ κάτωθεν ἐλάχιστον φέρει ἐν πλείσταις καθέδραις κατὰ βραχύ.>

1. V. Rose, p. 483.
3. σιτοδίζων] F. l. σποδίζων.
5. V. Rose, p. 488.
9. V. Rose, p. 487.
14. V. Rose, p. 488.
17. V. Rose, p. 490.

LAPIDAIRE ORPHIQUE

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΜΟΣΧΟΥ

ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟ

ΟΡΦΕΩΣ ΠΕΡΙ ΛΙΘΩΝ

Θειοδάμαντι τῷ Πριάμου συνήντησεν Ὀρφεὺς μετὰ ἑταίρων τινῶν πρὸς θυσίαν Ἡλίου, ἣν ἐτέλει κατ' ἔτος, εἰς ὄρος ἀνερχόμενος · καὶ αὐτῷ τῆς νενομισμένης ταύτης ἐτησίου θυσίας τὴν αἰτίαν ἀφηγεῖται, λέγων ὑπὸ δράκοντος αὐτὸν παῖδα ὄντα ποτὲ ἀναιρεθῆναι κινδυνεύοντα καταφυγεῖν εἰς τὸ ἐκεῖ που πλησίον ἱερὸν τοῦ Ἡλίου · ὑφ' οὗ καὶ σωθέντα ὡς ὁ πατὴρ περιεποιήσατο τῆς τοῦ παιδὸς σωτηρίας κατ' ἔτος ἦγεν Ἡλίῳ θύματα. Μεταστάντος δὲ ἐκείνου τῶν ἐντεῦθεν αὐτὸς Ὀρφεὺς ἀντὶ τοῦ πατρὸς τῆς τοιαύτης θυσίας καθίσταται διάδοχος, ἣν νῦν ἀφοσιούμενος ἄνεισι συμπαραλαβὼν καὶ Θειοδάμαντα. Οὗτος δὲ καθ' ὁδὸν τῷ ποιητῇ περὶ δυνάμεώς τε λίθων καὶ χρήσεως διεξέρχεται, οἵτινες αὐτῶν χρήσιμοι πρὸς τῶν θυόντων κρατούμενοι, ὅπως αὐτοῖς τὰ τῶν εὐχῶν ἐξανύοιτο, καὶ οἳ πρὸς τὰς ἰοβόλους τῶν δήξεων θεραπείας. Ὅθεν οἶμαι καὶ Νίκανδρος ὁ Κολοφώνιος ὕστερον ὁρμηθεὶς συνέγραψε τὰ θηριακά.

Τοῦ αὐτοῦ. Ἰστέον δέ, ὡς δύο τινὰ προοίμια τοῦ παρόντος προτίθεται ποιήματος · ἐν μὲν τῷ πρώτῳ αὐτήν τε τὴν ἀρετὴν καὶ σοφίαν ἅπασαν ἐξυμνῶν καὶ τοὺς πάλαι τῶν ἡρώων κατ' αὐτὴν γενομένους ἐνδόξους καὶ ἰσοθέους νομισθέντας, ὧν καὶ μητέρα τὴν ἀρετὴν προσείρηκεν · ἐν ταὐτῷ δὲ καὶ τῶν ἰδιωτῶν καθάπτεται, ὡς ἐπιφθόνως ἐχόντων πρὸς τοὺς τὴν ἀρετὴν διώκοντας καὶ τούτοις ἀεὶ φιλαπεχθημόνως ἐπικειμένων. Ἐν θατέρῳ δὲ ὁ πρὸς αὐτὸν καὶ Θειοδάμαντα γίνεται διάλογος.

Ligne 1. Texte reproduit d'après la seconde édition d'Abel : *Orphica*. Recensuit Eug. Abel. Accedunt Procli hymni, hymni magici, hymnus in Isim, aliaque ejusmodi carmina. Lipsiæ, G. Freytag; Pragæ, F. Tempsky, 1885. In-8º carré.

ΛΙΘΟΙ

ΟΡΦΕΩΣ ΛΙΘΙΚΑ

< ΠΡΟΟΙΜΙΟΝ >

Δῶρον ἀλεξικάκοιο Διὸς θνητοῖσιν ὀπάσσαι
κεκλόμενος Μαίης ἐριούνιος ἦλθε κομίζων
υἱός, ὅπως ἂν ἔχοιμεν ὀϊζύος ἀτρεκὲς ἄλκαρ.
Γηθόσυνοι δέχνυσθε βροτοί, πινυτοῖσιν ἐνίσπω,
οἷς ἀγαθὴ κραδίη καὶ πείθεται ἀθανάτοισι·
νηπυτίοισι δ' ὄνειαρ ἀκήρατον οὐ θέμις εὑρεῖν.
Τῷ δ' αὐτῷ καὶ πρόσθεν ἀγαλλομένους ἐπὶ δώρῳ
υἷά τε Λητοΐδης ἀκεσίμβροτον ἀθανάτοισιν
ἷξεν ἄγων ἐς Ὄλυμπον ἀγάννιφον ἠδὲ σαόφρων
Παλλὰς Ἀθηναίη λαοσσόον Ἡρακλῆα·
ἅλτο δὲ καὶ Κρονίδης ταναὴν ὑπὲρ αἰθέρα Χείρων
σευάμενος πρὸς Ὄλυμπον, ἐπεὶ μάθεν ἄμβροτα δῶρα.
Ἀλλ' ἤτοι κείνους μὲν ἀμώμητοι Διὸς οἶκοι
χαίροντες δέξαντο, θεηγενέων ὄχ' ἀρίστους·
ἡμῖν δ' ἐν γαίῃ κέλεται Χρυσόρραπις ὄλβῳ
ζώειν τερπομένοισιν, ἀπειρήτοις κακότητος.
Ὃν δέ κεν ἀνθρώπων πεπνυμένον ἦτορ ἀνώγῃ
ἐς πολυήρατον ἄντρον ἐσελθέμεν Ἑρμείαο,
ἔνθ' ὅγε παντοίων ἀγαθῶν κατέθηκεν ὅμιλον,
αἶψά κεν ἀμφοτέρῃσιν ὀνείατα πολλὰ κομίζων
οἴκαδ' ἀποστείχοι προφυγὼν πολύδακρυν ὀϊζύν·
οὐδέ ἑ νοῦσος ἄκικυς ἐνὶ μεγάροισι δαμάσσει,
οὐδ' ὅγε δυσμενέων ποθ' ὑποτρέσσας μένος αἰνὸν

L. 1. Ὀρφέως λιθικά]. Note d'Abel, dans sa première édition (1881) : « Carmen inscribitur Ὀρφέως περὶ λίθων in edd. In A (Ambrosiano B 98 sup.) ubi primi xc versus desiderantur, inscriptio a librario ut videtur ficta est : τοῦ αὐτοῦ Ὀρφέως ἐπήκοοι καὶ πρὸς ἑρπετά. — Ὀρφέως ἀρίστου ποιητοῦ περὶ λίθων B (Bernensis 369) et V (Venetus, IX, 1). — Ὀρφέως ποιητοῦ τὸ περὶ λίθων M (Ambros. C 80 inf.) — Deest inscr. in P (Parisinus 2764). — Ὀρφέως τοῦ ποιητοῦ περὶ λίθων Pal. (Palatinus-Vatic. 319). Tzetzes ubique Ὀρφέως λιθικὰ laudat. Etc. » — Les notes placées entre guillemets sans indication de source seront empruntées au « Commentarius criticus » inséré dans la première édition d'Abel. Ces notes suivies de son nom proviennent de son édition des Orphica (1885).

L. 2. Προοίμιον] « Procemii lemma προοίμιον primus introduxit Steph. » (Henri Estienne, Poetae graeci principes heroici carminis. Paris, 1566.)

ἂψ ἀναχωρήσει προλιπὼν ἐριγηθέα νίκην·
οὐδέ οἱ ἀθλητῆρι κονισσαμένῳ ἐν ἀγῶνι
ἀντιβίην τινὰ θυμὸς ἐφορμήσει μενεαίνειν,
οὐδ' εἰ χάλκεα γυῖα καὶ ἄγναμπτον σθένος ἀνὴρ
ἄντικρυ στεφάνοιο πόθῳ κομίσας ἐριδαίνοι.
Ναί μιν καὶ θήρεσσιν ὀρεσκῴοισι λέοντα
δεινὸν καὶ λαοῖσιν ἐοικότα δαίμονι τεύξω,
καί οἱ καὶ βασιλεῦσι διοτρεφέεσσιν ὀπάσσω
ῥεῖα καὶ ἀλλοδαποῖσι μετ' ἀνθρώποισι τίεσθαι.
τὸν δὲ καὶ ἠίθεοι τερενόχροες ἱμερτῇσιν
αἰὲν ἐφορμήσουσι περιπτύσσειν παλάμῃσι,
καὶ μαλακὴ χρύσειον ἐπὶ λέχος αἰὲν ἐρύσσει
ἄλληκτον κούρη ἐπιειμένη φιλότητος·
εὐχομένου τε πρὸς οὔατ' ἀφίξεται αἰὲν ἐόντων
εὐχή, καὶ πόντοιο κυκωμένου οὐκ ἀλεγίζων
βήσετ' ἐπὶ τραφερὴν χθόν' ἀκυμάντοισι πόδεσσι.
Τὸν καὶ ληϊστῆρες ἀνάρσιοι οἶον ἐόντα
φεύξονται, καὶ δμῶες ὀϊόμενοι πατέρ' εἶναι
τίσουσιν καὶ οἶκον ἑοῦ στέρξουσιν ἄνακτος.
Ἴδμεναι αἴ κ' ἐθέλῃσι, δαήσεται, ὅσσα τε φῶτες
κρυπτάδια σφετέρῃσιν ἐνὶ φρεσὶ μηχανόωνται,
ὅσσα τε κεκλήγασι μετὰ σφίσιν ἠεροφοῖται
ἀνθρώποις ἄφραστον ἰακχάζοντος ἀοιδήν,
οἰωνοί, μεγάλοιο Διὸς κραιπνοὶ ὑποφῆται.
Ῥοῖζόν τε στῆσαι χαμαὶ ἐρχομένοιο δράκοντος
εἴσεται ἠδ' ὄφεων ἰὸν σβέσαι ἑρπυστήρων.
Δώσω οἱ καὶ φῶτα χόλῳ πίπτοντα σελήνης
ῥύσασθαι καὶ νοῦσον ἀταρτηρὴν ἐλέφαντος,
καὶ ψυχὴν ἐλάσαι τεθνηότος, ἥ κεν ἐρεμνοῦ
ἐξ Ἄϊδος προμολοῦσα ποτιχρίμπτηται ἑκάστῳ.
Ἄλλαι ἀπειρέσιοι πολυμήτιος Ἑρμείαο
δωτῖναι κομίσαντος ἐνὶ σπήλυγγι κέονται,
ἄμβροτοι, ἀτρεκέες, ῥίμφα πρήσσουσαι ἕκαστα·
τάων ἡμίθεός τε καὶ ὄλβιος ὅς κ' ἐφίκηται.
Τὰς ἐμὲ κηρύσσειν λαοσσόος Ἀργειφόντης
ἀνθρώποισιν ὄρινε, μελιγλώσσοιο κελεύσας
φθόγγον ἀπὸ στήθεσφιν ἀοιδῆς γηρύσασθαι.
Ἀλλ' οὐ πάγχυ βροτοῖσι σαοφροσύνης ἀλεγίζειν

ἵμερος · αἶψα δέ, πρέσβα, σ' ἀλιτροσύναις ἀτίουσι ·
μητέρα δ' ἡρώων ἀρετὴν ἀπάτερθε κλύοντες
προτροπάδην φεύγουσιν, ἀοσσητῆρα δὲ μόχθον,
μόχθον ἀοσσητῆρα βίου μάλα πεφρίκασιν.
Οὐδέ σφι κρείων ἐνὶ δώμασιν ὄλβος ὁμιλεῖ,
οὐδέ τις οἶδε θεοῖς ὀαριζέμεν ἀθανάτοισιν ·
ἐκ δ' οἵγε πτολίων τε καὶ ἀγρῶν ἤλασαν ἐσθλήν
— ἆ δειλοί — σοφίην, Ἐριούνιον ὑβρίζοντες.
Ὤλετο δὲ προτέροις πεπονημένον ἡμιθέοισιν
ἔργον · ὃ δ' ἀργαλέος καὶ ἀπεχθὴς αὐτίκα πᾶσιν,
ᾧ κεν ἐπωνυμίην λαοὶ τεύξωσι μάγοιο.
Καί ῥ' ὃ μὲν ἐν κονίῃσιν ὑπ' ἄορι κρατὸς ἀμερθεὶς
λευγαλέῳ θανάτῳ δῖος φὼς ἐκτετάνυσται ·
οἱ δ' ἴκελοι θήρεσσιν, ἄϊδριες ἠδ' ἀδίδακτοι,
χήτεϊ δαιμονίοιο νοήματος, οὔθ' ὑπ' ἀρωγὴν
θεσπεσίην φυγέτην ὀλεσιμβρότου ἐκ κακότητος,
οὔτε τι θέσκελον ἔργον, ὅ κεν μάλα θαυμάζοιτο,
ἴσασ' · ἀλλά σφιν νεφέλη πραπίδεσσι κελαινὴ
ἀμφιπεριπλεχθεῖσα βαδιζέμεν ἀνθεμόεντα
εἰς ἀρετῆς λειμῶνα πολυστεφάνοιο μεγαίρει.
Ἀλλ' ἐμέθεν στεῦμαι κειμήλια πειθομένοισιν
ἀφνειοῦ χρυσοῖο πολὺ προφερέστερα δείξειν ·
φῶτα δὲ δίζημαι ταλακάρδιον, ὅς κεν ἑκάστου
ἐμμεμαὼς πειρῷτο μενοινήσῃ τε κάμῃ τε,
ὅς τε διδάσκηται καὶ ὃς εἰδότας ἐξερεείνῃ.
οὐ γὰρ ἄτερ καμάτοιο τέλος μύθοισι καὶ ἔργοις
εὐρύοπα Κρονίδης ἐθέλει δόμεν · ἀλλὰ καὶ αὐτὸν
ἐς δύσιν ἀσθμαίνοντες ἀν' αἰθέρα λαμπετόωσαν
Ἠέλιον φαέθοντα σὺν ἅρματι πῶλοι ἄγουσι.

< ΥΠΟΘΕΣΙΣ >

Μᾶλλον ἐγὼ πινυτοῖο παραίφασιν ἀνέρος εὑρὼν

Vers 77. Ὀλεσιμβρότου] φαεσιμβρότου vulg. f. mel. φθασιμβρότου Wakefield. Correction de Tyrwhitt adoptée par Abel.

82. στεῦμαι] ὑπισχνοῦμαι vulgo. Correction de Hermann.

Après le vers 90] « ἡ ὑπόθεσις est in P, Pal., V et edd. ante Tyrwh.; ὑπόθεσις in B. Inscriptionem primus om. Tyrwh. »

τέρψομαι ἤπερ χρυσὸν ἁπάντων κοίρανον ἀνδρῶν.
Ἠελίῳ γὰρ ἄγων ἱερήιον ἀντεβόλησα
ἀγρόθεν ἄστυδ' ἰόντι περίφρονι Θειοδάμαντι
καί μιν ἑλὼν χερὶ χεῖρα προσηύδων ὧδ' ἐπέεσσιν·
Ἐς πόλιν, εἰ μὴ πάμπαν ἐπισπέρχωσιν ἀνάγκαι,
ῥηϊδίως σοι, ἑταῖρε, καὶ αὔριον ἔσσεθ' ἱκέσθαι·
νῦν δέ σέ μοι στείχοντι μετ' εἰλαπίνην θεὸς αὐτὸς
ὦρσεν ὑπαντιάσαι· τῷ μοι πρόφρων ἐπίνευσον
ἑσπέσθαι· θυσίαι δ' ἱεροπρεπέες τελέθουσιν,
ἃς ἀγαθοὶ ῥέζουσι βροτοί· γάνυται δὲ φίλον κῆρ
ἀθανάτων, εὖτ' ἂν σφι χοροὺς ἀνάγωσιν ἄριστοι.
Ἄξω δ' οὐ μακρὴν ἐς ἀταρπιτόν· εἰσοράᾳς γὰρ
ἡμετέρων με κιόντα πρὸς ἀγρῶν ἀκρώρειαν.
Ἔνθα νεογνὸς ἐὼν ἔτλην ποτε μοῦνος ἀνελθεῖν,
λαιψηρὼ πέρδικε μετασπόμενος προφυγόντε·
οἳ δ' ἤτοι εἵως μὲν ἀκούων οὔνομ' ἕκαστος
ἱστάμενος μίμνασκεν, ὀρεξάμενον δὲ δοκεύσας,
πρὶν μάρψαι χείρεσσιν ἀλυσκάζων προφύγεσκεν.
Αὐτὰρ ἐγὼ σπουδῇ κεν ἐπὶ στόμα κάππεσον ἐλθών·
ἂψ δ' αὖτις γαίηθεν ἀναΐξας ἐδίωκον.
Ἀλλ' ὅτε δὴ κορυφήνδε μετασπόμενος κίον ἄκρην,
οἳ μὲν ἄρ' ἐξαπίνης ἰαχὴν ὀξεῖαν ὄροντε
αἰγανέης ἔσσυντο θοώτερον ἠὲ βελέμνου
ὑψίκομον ποτὶ φηγόν, ἐπεσσύμενον προϊδόντε
αἰνὸν ὄφιν, πετάσαντα γένυν πλείην θανάτοιο.
Τὸν δ' ἐγὼ ἐγχριμφθεὶς ὑπεναντίον ἀΐξαντα
οὐκ ἴδον· ὀφθαλμοὶ δέ μοι ὀρνίθων λελίηντο·
πρίν περ ἀναστήσαντος ἀπὸ χθονὸς αὐχένα δεινὸν
ἐφρασάμην ἤδη τε δέμας μεμαῶτα λαφύξαι.
Ἔνθ' εἴ τις σπεύδοντα παλίσσυτον εἰσενόησεν,
οὔτε με περδίκεσσιν ἀελλοπόδεσσιν ἔπεσθαι
οὔτε με νηπιάχοισιν ὀΐσατο ποσσὶ φέρεσθαι.
Κέκλετο γάρ μοι δεῖμα τανύπτερον αἰετὸν εἶναι
καὶ πνοιὴν ἀνέμου· παρὰ γὰρ ποσσὶν κακὸν ἦεν.
Πολλάκι δ' εἵματος ἄκρου ἐπιψαύεσκεν ἀκωκαῖς·
καί κεν ὑπὲρ μοῖράν με πελώριος ἀμφέχανεν θήρ,
εἰ μή μοι νόος ὦρτο θοῶς ἐπὶ βωμὸν ὀροῦσαι,
τόν ῥα παλαιότεροι Φαεσιμβρότῳ ἱδρύσαντο.

Τῷ δ᾽ ἄρ᾽ ἔπι τρύφος αὖον ἐλαϊνέης ἐλέλειπτο
σχίζης, ἥντε μαρανθὲν ἀδηφάγον ἐξέλιπεν πῦρ·
τὴν ἐγὼ ἁρπάξας ὀλοοῦ κατένωπα δράκοντος
ἐστρέφθην. μαίμησε δ᾽ ὀρεσκῴου μένος αἰνὸν
μάρνασθαι, μεμαῶτα ἰδών, εἰλεῖτο δὲ πυκνῶς
γνάμπτων εὐκύκλως ταναὴν ῥάχιν· αὐτὰρ ἐπ᾽ ἄλλῳ
ἄλλος, ἔπειτα δέ τ᾽ ἄλλος ἑλισσομένου τροχὸς ἦεν·
ἤδ᾽ ἔτι καὶ βωμοῦ ὕπερ αὐχένας ἠέρταζε,
συρίζων βοόωντος ἐμῆς πολὺ μεῖζον ἀϋτῆς.
Καὶ τύπτων ἄρρηκτον ὀρεσκῴοιο κάρηνον
ἀμφ᾽ αὐτῷ θραύεσκον ὑπέκπυρον ὄζον ἄκικυν·
οὐδ᾽ ἄρα μόρσιμος ἦα δαφοινῷ θηρὶ δαμῆναι.
Τοὔνεκεν αἰπολίοισιν ἀπόπροθι βοσκομένοισιν
ἑσπομένω δύο πατρὸς ἐμοῦ κύνε κεκλήγοντα
γνόντες ἐπεδραμέτην· μάλα γάρ σφισι μείλιχος ἔσκον.
Οἳ μὲν ἄρ᾽ ὑλάσσοντες ἐπέδραμον· αὐτὰρ ὅγ᾽ αἶψα
ἀντίον ἔσσυτο τοῖιν, ἐγὼ δ᾽ ἐς γαῖαν ὀρούσας
προτροπάδην, ὥς τίς τε Διὸς γαμψώνυχα φεύγων
αἰετὸν ἐν πυκινοῖσι λάθῃ θάμνοισι λαγωός,
τῷ ἴκελος μήλοισι μιγεὶς ὀλοοῦ ἀπὸ θηρὸς
ἐκρύφθην μέσσοισιν ἐνὶ πτήξας ἐρίφοισιν.
Ὄφρα μὲν οὖν ἀκάκητα πατὴρ ἐμέθεν ζώεσκεν,
αἰεὶ μόσχον ἄγεσκεν ἐμὸν πρὸς ἀμύντορα βωμόν,
τίνων Ἠελίῳ ζωάγρια παιδὸς ἑοῖο.
Αὐτὰρ ἐπεὶ Μοῖραί μιν ἀπήγαγον ἠελίοιο,
αὐτὸς ἐγὼν ἀγέληθεν ἐλάσσας πίονα μόσχον
εἰαρινόν, θαλέθοντα νεήνιδος οὔθατι μητρός,
ἔρχομ᾽ ἐς ἀκρώρειαν, ἄγων χορὸν ἡδὺν ἑταίρων·
σὺν δέ σφιν καὶ τώδε δρακοντοφόνω κύνε βήτην
αὐτομάτω· γλυκερὴ δὲ πέλει περὶ βωμὸν ἄνακτος
τερπωλὴ χλοερόν τε πέδον μαλακαί τ᾽ ἔπι ποῖαι
καὶ λασίαις πτελέῃσιν ὕπο σκιή· ἄγχι δ᾽ ἄρ᾽ αὐτῶν
ὕδωρ ἀέναον λισσῆς ὑπὸ πυθμένι πέτρης
λευκὸν ἀναβλύζον κελαρύζεται εἴκελον φωδῇ.
Ἴομεν· οὔτοι δαῖτα θεῶν θέμις ἀρνήσασθαι.
Ὣς ἐφάμην· ὃ δέ μ᾽ ὧδε προσηύδα δαιμόνιος φώς·
Ἀλλά σε μὲν κρείων Φαεσίμβροτος ἐξ ἀλεγεινῆς
αἰὲν ἄγοι κακότητος ἀδακρύτοιό τε πέμποι

ὄλβου πρὸς μέγα δῶμα φιλοφροσύνης ἕνεκα σφῆς.
Οὐδὲ μὲν οὐδέ σ' ἐγώ περ ἀμοιβῆς αὐτὸς ἀμέρσω·
ἀλλ' ἐπεὶ οὖν ἄξων ἱερήιον εἰσαναβαίνεις,
ὄφρα σευ εὐχομένοιο κλύοι θεός, ἐγγυαλίξω.
1] Κρύσταλλον φαέθοντα διαυγέα λάζεο χερσὶ
λᾶαν, ἀπόρροιαν πυριφεγγέος ἀμβρότου αἴγλης·
αἴθεϊ δ' ἀθανάτων μέγα τέρπεται ἄφθιτον ἦτορ.
Τόν κ' εἴ περ μετὰ χεῖρας ἔχων παρὰ νηὸν ἵκηαι,
οὔτις τοι μακάρων ἀρνήσεται εὐχωλῇσι.
Κέκλυθι δ' ὄφρα μάθοις μένος ἀργεννοῖο λίθοιο·
εἰ γὰρ ἄτερ κρατεροῦ ἐθέλοις πυρὸς ἐκ φλόγας ὄρσαι,
κέκλομαι αὐαλέων μιν ὑπὲρ δαΐδων καταθεῖναι·
αὐτὰρ ὅγ' ἠελίου κατεναντίον αὐγάζοντος
αὐτίχ' ὑπὲρ δαΐδων ὀλίγην ἀκτῖνα τανύσσει·
ἡ δ' ὅτε καρφαλέης τε θίγῃ καὶ πίονος ὕλης,
καπνόν, ἔπειτα δὲ πῦρ ὀλίγον, μετὰ δὲ φλόγα πολλὴν
ὄρσει· τὴν δ' ἄρα φασὶ παλαιγενέες ἱερὸν πῦρ.
Τάων οὐχ ἑτέρης μᾶλλον φλογὸς ἔλπομ' ἔγωγε
ἀθανάτοις οὕτω κεχαρισμένα μηρία καίειν.
Πρὸς δ' ἔτι τοι καὶ τοῦτο, φίλος, μέγα θαῦμα πιφαύσκω·
αὐτόν, ὅτις πέλεται φλογὸς αἴτιος, αἴ κε μάλ' ὦκα
ἐκ πυρὸς ἁρπάξῃς, ψυχρὸς πέλει ἀμφαφάασθαι·
ἀμφὶ δὲ καὶ νεφροῖσι δεθεὶς κάμνοντα σαώσει.
2] Δεύτερον εὐχομένῳ τοι ἀρηγόνα λᾶαν ὀπάσσω,
θεσπεσίοιο γάλακτος ἐνίπλεον, ἠύτε μαζὸν
πρωτοτόκου νύμφης ἢ μηκάδος οὐθατοέσσης·
τόν ῥα παλαιγενέες μὲν ἀνακτίτην ἀδάμαντα
κλεῖον, ὅτι γνάμπτει μακάρων νόον, ὄφρα θυηλὰς
ἀζόμενοι ἐθέλωσιν ἐπιχθονίους ἐλεαίρειν·
οἱ δ' ἄρα μιν λήθαιον ἐφήμισαν, οὕνεκεν αἰεὶ
μεμνῆσθαι κακότητος ὀϊζυρῆς ἀπερύκει

Après le vers 171] « περὶ κρυστάλλου in B, Pal., V; ὁ κρύσταλλος M; κρίσταλλος P; κρύσταλλος edd. ante Tyrwh. ».

Après le vers 190] « περὶ γαλακτίτου λίθου in B; γαγαλίτης M: γαλατίτης in P; περὶ γαλατίτου in Pal., V; γαλακτίτης edd. ante Tyrwh. »

194. ἀνακτίτην] « ἀνακτίτην A, M (hic ex ἀνακτῖτιν) et Herm.; ἀνακτίτιν B, P, Pal. V et edd. ante Herm; ἀναγκίτην conj. Salmas. ad Solinum, p. 97 a D. » Etc. Cp. Damigéron, art. 34 (anachitem, *alias* anathiten). « Ἀνακτήτην, *conciliatorem*, esse voluit Gesnerus, etc... Malim ἀναρτίτην ab ἀναρτάω ductum. »

Après le vers 229] « Titulus πετρακής edd. ante Tyrwh. »

θνητοὺς ἀθανάτους τε · νόον δ' ἐριούνιον εἶναι
θέλγει ἐποτρύνων ἀγανὰ φρεσὶ βουλεύεσθαι.
Ἄλλοι δ' ἐσκέψαντο γαλακτίδα φέρτερον εἶναι
κικλήσκειν πέτρην, ὅτι τοι τρίψαντι γάλακτος
ἐκπρορέει λευκοῖο πανείκελος ἔνδοθεν ἰχώρ.
Πεῖρα δέ τοι καὶ τοῦδε παρέσσεται, αἴ κ' ἐθέλησθα.
Οὔθατα γὰρ μήλων ὅτε κεν μινύθοντα ἴδηαι,
πῶς ἔρξεις, φίλε τέκνον, ἐπὴν ἐρίφοισι τεοῖσιν,
οὕς ποτε θῆρα πέλωρον ὑπεκπροφυγὼν ἱκέτευες,
τοῖσι παρασταίης τετληόσιν, οἱ δ' ἐνὶ σηκῷ
ἀμφί σε λεπταλέοι γοερὸν περιμηκήσωνται;
Τῶν μὲν ἀκηχεμένας ἐπιτέλλεο μητέρας αἶψα
λούειν πηγάων κυαναυγέσιν ἐν δίνῃσι ·
στήσας δ' ἠελίου κατεναντίον ἀντέλλοντος,
ἀγνίζειν μὲν πρῶτον ἐποιχόμενος περὶ πάσας,
ἅλμην δ' ἐν κρητῆρι καὶ ἄλφιτα λεπτὰ λίθοιο
χευάμενος, διὰ πῶυ καὶ αἰγῶν ἔρχευ ὅμιλον,
ῥαίνων καρποφόρῳ λάσιον κατὰ νῶτον ἑκάστης
θαλλῷ · ταὶ δ' ἄρα πᾶσαι ἰαινόμεναι περὶ σηκοὺς
ἐξαπίνης μετὰ τέκνα φερεγλαγέες στιχόωνται ·
οἱ δ' ἄρ' ὑπαὶ μαζοῖσι κορεσσάμενοι γαλαθηνοὶ
σκιρτηθμῶν ἐξαῦτις ἀναμνήσοντ' ἀγέρωχοι.
Σὴν δὲ μελικρήτοιο μετὰ γλυκεροῖο μιγέντα
ὄρνυε πινέμεναι νύμφην, ἵνα νήπιον υἷα
μαστοῖσιν μεθύοντα παρ' ἀενάοισι κομίζῃ.
Ἀμφὶ δ' ἄρ' αὐχένι παιδὸς ἀερτάζουσα τιθήνη
λᾶαν, ἐρητύσει κακομήτιος ὄσσε Μεγαίρης.
Καὶ δέ σε καὶ βασιλῆες ἀμύμονες αἰδέσσονται
ἐν χερὶ λᾶαν ἔχοντα, καὶ ἄπλετα φῦλ' ἀνθρώπων ·
ἀθάνατοι δὲ μάλιστα θεοὶ καταθύμια σεῖο
πάντα τελευτήσουσιν ἐπ' ἀράων αἴοντες.
3] Χρὴ δὲ καὶ εὐπέταλον τετραυγέα λᾶαν ἔχοντας
ἀρᾶσθαι παρὰ βωμὸν ἐναιρομένης ἑκατόμβης.
4] Εἰ καὶ δενδροφύτοιο φέροις τρύφος ἐν χερὶ πέτρης,

230. τετραυγέα] τετρακέα vulg. πετρακέα Ald. Correxit Abel ex Plinio *H. N.*, XXXVII, 10. A mg. περὶ εὐπετάλου.
Après le vers 231] « περὶ ἀχάτου λίθου in B; in Pal., V : περὶ ἀχάτου; in P et edd. ante Tyrwh. ἀχάτης.
232. « A mg. περὶ δενδραχάτου. »

μᾶλλόν κεν θάλποιτο θεῶν νόος αἰὲν ἐόντων.
δένδρεα γὰρ μάλα πολλὰ κατόψεαι, ὡς ἐνὶ κήπῳ
ἀνθεμόεντι, κλάδοισιν ἐπασσυτέροις κομόωντα.
Τοὔνεκά οἱ καὶ φῶτες ἀχάτῃ δενδρήεντι
θῆκαν ἐπωνυμίην, ὅτι οἱ τὸ μὲν ἔπλετ' ἀχάτου,
ἄλλο δ' ἔχει λασίης ὕλης δέμας εἰσοράασθαι.
Τὸν δὲ τεοῖσι βόεσσιν ἀνασχίζουσιν ἄρουραν
ἀμφὶ κέρα δοιὼ βαλέειν ἢ καρτερὸν ἀμφὶς
ὦμον ἀροτρεύοντος ἀτειρέος ἀγροιώτου·
καί κεν ἀπ' οὐρανόθεν σταχυοπλόκαμος Δημήτηρ
μεστὸν ἴοι φερέκαρπον ἐς αὔλακα κόλπον ἔχουσα.
5] Σκέπτεο καὶ θηητὸν ἔχων ἐλάφοιο πέλαζε
ἀθανάτοισι κέρας· ποτὶ γὰρ νόος οὐρανιώνων
μειδιάει φύσεως πολυδαιδάλου ἔργον ἰδόντων·
ἤτοι μὲν κέρας ἐστί, τανaύποδος οἷα φύονται
ἐκ κεφαλῆς ἐλάφοιο· φύει γε μὲν οὔ ποτε κόρσῃ
πέτρην, ἀλλ' ἔμπης πέλεται κρατερὴ τόγε πέτρη.
Οὐδέ κεν ἂν γνοίης, κέρας ἀτρεκὲς ἢ λίθος ἐστί,
πρίν κέ μιν ἀμφαφόων εὕρῃς νημερτέα λᾶαν.
Αἰεί τοι θήσει λασίην ἐπὶ κράατι λάχνην,
εἰ καὶ ψεδνοκάρηνος ἔοις· εἰ γάρ μιν ἐλαίῳ...
τριβόμενον τρίβειν κροτάφους πάντ' ἤματα σεῖο,
αἱ δὲ νέαι περὶ βρέγμα τεὸν τρίχες ἀνθήσουσι.
Πρωτόγαμον δ' αἰζηὸς ἄγων ἐς δέμνια κούρην
τερπωλῆς ἐρατῆς ἐπιμάρτυρα τόνδε φέροιτο
λᾶαν· ὃ δ' ἀρρήκτοισιν ὁμοφροσύνῃσιν ἅμ' ἄμφω
ὕστατον ἐς γῆρας καὶ ἐς ἤματα πάντα καθέξει.
6] Ποιμένι δ' ἀγραύλων ταύρων, Διὸς αἰγιόχοιο
υἱέϊ κισσοχίτωνι, λίθον καταθύμιον εἶναι
βάρβαρον ἀγγέλλω, Συριηγενέος κελαδεινοῦ
ὕδασιν Εὐφρήταο διαινόμενον ζαμίλαμπιν·

Après le vers 243]. Titre des mss. B, Pal., V et des edd. antérieures à Tyrwhitt : περὶ κέρατος ἐλάφου.

Après le vers 253] « Lacunae signa posuit Abel; sed fort. ἐν γὰρ οἱ ἐλαίῳ ‖ τριβομένῳ τρίβειν κτλ., scribendum est. » Abel (οἱ rend le vers faux). « Versum amissum esse statui, in quo miscendi notionem expressam fuisse credo ». Je propose εἰ γὰρ σὺν ἐλαίῳ ‖ τριβομένῳ τρίβεις κτλ., sans lacune. Cp. l'Epitomé des *Lithica orphiques* (ci-après), art. 4 du Baroccianus.

260. A mg. : περὶ ζαμιλάμπου.

Après le vers 266] « Titulus ἴασπις in M, P, edd. ante Tyrhw.; περὶ ἰάσπεως λίθου B.; περὶ ἰάσπεως Pal., V. »

ὅς τοι φυταλιῆς ἕνεκεν ῥέξαντι θυηλὰς
κλήμασιν αὐτίκα σεῖο φερεσταφύλοισιν ἀλωὴν
ἀμφιέσας, πολλόν τοι ἀφύσσασθαι μέθυ δώσει.
7] Καὶ γλαφυρὴν κομίσας ἐαρόχροον αἴ κεν ἴασπιν
ἱερά τις ῥέζῃ, μακάρων ἰαίνεται ἦτορ,
καί οἱ καρφαλέας νεφέλαις κορέσουσιν ἀρούρας·
ἥδε γὰρ αὐχμηρῇσιν ἄγει πολὺν ὄμβρον ἀρούραις.
8] Λύχνι, σὺ δ' ἐκ πεδίου ῥόθιόν τ' ἀπόεργε χάλαζαν
ἡμετέρου καὶ κῆρας, ὅσαι στιχόωνται ἐπ' ἀγρούς·
καί σε γὰρ ἀθανάτων φιλέει νόος, ἐκ δ' ἄρα βωμῶν
ἠύτε περ κρύσταλλος ἄνευ πυρὸς ἐκ φλόγα πέμπεις·
ἐν δέ σοι ἀντίπαλον κεῖται μένος· ὁππότε δὴ πῦρ
νηδὺν ἀμφιέσῃσιν ἐνιπλείοιο λέβητος,
ψυχρὸν ἐπειγομένοιο πυρὸς μένει ἔνδοθεν ὕδωρ·
εἰ δέ τις ἐν ψυχρῇσι λίπῃ κονίῃσι λέβητα,
παφλάζει κρατεροῖο κυκώμενον ἔνδοθι χαλκοῦ.
9] Ἐσθλοὶ δ' αὖτ' ἐπὶ τοῖσι καὶ ὑαλοειδέες εἶναι
κλείονται θνητοῖσι θυηπολέουσι τόπαζοι.
10] Φημὶ δέ τοι τέρπειν καὶ ὀπάλλιον οὐρανίωνας
ἀγλαόν, ἱμερτοῦ τέρενα χρόα παιδὸς ἔχοντα·
καί ἑ καὶ ὀφθαλμοῖσιν ἀοσσητῆρα τετύχθαι.
11-12] Καὶ πίτυος δακρύοισι λίθου μένος ὀψιανοῖο
καὶ σμύρνην μίσγειν εὐώδεα καὶ φολίδεσσιν
ἀργυφέαις λεπιδωτὸν ἀποστίλβοντα κελεύω.
αὐτίκα γάρ τοι ταῦτα πυρὸς καθύπερθε πάσοντι
ἀθάνατοι δώσουσι θεοπροπίας ἀγαθῶν τε
ἐσσομένων λυγρῶν τε· καὶ εἴσεαι ἅσσ' ἐθέλησθα.
καὶ νεύρων ἀλεγεινὰ πάθη λεπιδωτὸς ἀμύνει.
13] Δοιὼ δ' Ἠελίου χρυσότριχε λᾶε πέλονται,
ἄμφω θεσπεσίω· θάμβος δέ τοι ἔσσετ' ἰδόντι.
ἀμφοτέροις ἀκτῖνες ἐτήτυμοι ἐμπεφύασιν,
ὀρθαί, λαμπετόωσαι· ἰδεῖν γε μὲν οἷον ἔθειραι,
εἶδος δέ σφι λίθων ἄλλων· τὸν μέν τε νοήσεις
κρύσταλλον λευκήν· εἰ δ' οὐκ ἔχεν ἔνδον ἐθείρας,

271. A mg. περὶ λυχνίτου — Λύχνι, σὺ] λύχνις δὲ vulg. Correxit Tyrwh.
Après le vers 279] A mg., B : περὶ τοπαζίτου ; Pal. V : περὶ τοπάζου ; M, P : τόπαζος.
Après le vers 281] « περὶ ὀπαλλίου λίθου A mg., B (P, Pal. λίθον) ; περὶ ὀπαλλίου V ».

κρύσταλλός κεν ἔην · ὃ δὲ χρυσολίθῳ δέμας ἄντην
εἴκελος εἰσιδέειν · εἰ δ' οὐκ ἔχεν οὐδ' ὅγ' ἐθείρας
χρυσόλιθός κεν ἔην · ἀτὰρ ἐσθλὼ φημι τετύχθαι.
Ἐν γάρ σφιν μέγα δή τι φερέσβιος ἔμβαλε πνεῦμα
Ἠέλιος, ῥέζειν ἐρικυδέας αὐτίκα φῶτας
σεμνοτέρους τ' ἰδέειν · καί τοι σέβας ἔσσεται αὐτῶν.
Αἶψα γὰρ ἡρώων σφιν ἐπέρχεται εἶδος ἀγαυόν,
οἵ κε θεοῦ μέγα δῶρον ἐπισταμένως φορέωσι.
14] Τόλμα δ' ἀθανάτους καὶ ἐνηέϊ μειλίσσεσθαι
μαγνήσσῃ · τὴν δ' ἔξοχ' ἐφίλατο θούριος Ἄρης,
οὕνεκεν, ὁππότε κεν πελάσῃ πολιοῖο σιδήρου,
ἠύτε παρθενικὴ γλαγερόχροα χερσὶν ἑλοῦσα
ἠίθεον στέρνῳ προσπτύσσεται ἱμερόεντι,
ὣς ἥγ' ἁρπάζουσα ποτὶ σφέτερον δέμας αἰεὶ
ἂψ πάλιν οὐκ ἐθέλει μεθέμεν πολεμιστὰ σίδηρον.
Ἦτοι μέν μίν φασι καὶ Ἠελίοιο πέλεσθαι
ἀμφίπολον κούρης, ὅτε κεν θέλγητρα παλύνῃ ·
καί μιν ὑπερθύμοιο τεκοκτόνος Αἰήταο
κύδηνεν κούρη πολυμήχανος. Αὐτὰρ ἔγωγε
σῆς ἀλόχου κέλομαί σε δαήμεναι, εἰ ἔθεν ἁγνὸν
ἀνδρὸς ἀπ' ἀλλοτρίοιο λέχος καὶ σῶμα φυλάσσει.
Ἐς γάρ μιν κομίσας, ὑπὸ δέμνια κάτθεο λάθρῃ,
χείλεσιν ἀείδων θελξίμβροτον ἀτρέμας ᾠδήν ·
ἣ δὲ κατακνώσσουσα καὶ ἡδέϊ περ μάλ' ἐν ὕπνῳ,
ἀμφὶ σε χεῖρ' ὀρέγουσα ποτιπτύσσειν μενεαίνει ·
εἰ δέ ἑ μαχλοσύνῃσιν ἐλαύνοι δῖ' Ἀφροδίτη,
ὑψόθεν ἐς γαῖαν τετανύσσεται ἐκπροπεσοῦσα.
Καὶ δοιὼ μάγνησσαν ἀδελφειὼ φορεόντων,
θυμὸν ἀπειρεσίης φυγέειν ἔριδος ποθέοντε ·
καὶ λαοὺς ἀγορήνδε συναγρομένους ὀπὶ καλῇ
θέλξεις ἐν στήθεσσιν ἄγων μελιηδέα πειθώ.
Καί τοι πολλά κεν ἄλλα δυνησόμενος καταλέξαι
θέσκελα τοῖο λίθοιο, τί τοι πλέον οὐρανιώνων
φθέγγωμαι ; Τῶν αἶψα καὶ ὑψόθι περ μάλ' ἐόντων
ἦτορ ἐπιγνάμπτει καὶ ἐφέλκεται, ὄφρα κε σεῖο

Après le vers 306] « μαγνῆτις M, P, edd. ante Tyrwh. ; περὶ μαγνήτεως Pal. ; περὶ μαγνήτεως λίθου B ; περὶ μαγνήτεος V. »

307. A mg. : περὶ μαγνήτου.

ὦκα μάλ', ὥστε τοκῆες, ἐέλδωρ ἐκτελέσωσιν.
Ἀλλ' ἤτοι τάδε μὲν καὶ ἐπαυτίκα πειρηθῆναι
πάντα μάλ' ὅσσ' ἀγόρευσα, παρέσσεται, εἴ κ' ἐπὶ βωμὸν
ἔλθωμεν · καὶ γάρ τοι ἐπισπόμενός μοι ὅγ' ἀνὴρ
ὤμοισι κρατεροῖσι λίθων φέρει αἰόλον ὕλην.
15] Νῦν δ' ἐπεὶ ἀτραπιτοῖο πολὺ πλέον ἄμμι λέλειπται,
σεῖο δ' ἔτι κραδίην κλονέει μέγα δέργμα δράκοντος,
μάνθανε καὶ δολιχῶν ὄφεων μὴ δειδέμεν ἰούς ·
τρῖψαι γὰρ λεπτὴν ὀφιῆτιδα κέκλεο πέτρην,
ἥν ποτέ τις κρατεροῖσι πεπαρμένος ἔλθῃ ὀδοῦσι,
καί μιν ἐφ' ἕλκεϊ πάσσε · καὶ ἀτρεκὲς ἔσσετ' ὄνειαρ.
16] Σὺν δὲ καὶ ὀστρίτην οἴνῳ λίθον ἐντρίψαντας
ἀκρήτῳ κέλομαι πίνειν ὀδυνήφατον εἰδώς.
17] Καὶ σέο, δαιμονίη, μεμνήσομαι αὐτίκα, πέτρη,
αὐτοκασιγνήτη πολιῆς καὶ ὁμώνυμ' ἐχίδνης ·
ἦ ῥά ποτ' εἰναετῆ λώβην ἀμενηνὸν ἔθηκας
ῥίμφα Φιλοκτήταο Μαχαονίης ὑπὸ τέχνης.
Οὐ μέν πως κείνην Ποιάντιος ἔλπετο θυμῷ
νοῦσον ὑπεκφεύξεσθαι ἀταρτηρήν, ποθέων περ ·
ἀλλ' ὅγ' ἀλεξικάκοιο μαθὼν παρὰ πατρὸς ἀρωγήν,
λᾶαν, ὅτις κ' ἀκέοιτο, βαλὼν ἔπι φάρμακα μηρῷ,
σεῦεν ἐπὶ Τρώεσσιν Ἀλεξάνδροιο φονῆα ·
τόν ῥα μεθ' ὑσμίνην ἧκειν ποσὶν ἀρτεμέεσσι
Πριαμίδης Πάρις αὐτός, ἀποθνήσκων περ, ἀπίστει.
18] Ἔκτανε δ' ἠπεροπῆα Πάριν Ποιάντιος ἥρως,
κεκλομένου Δαναοῖς Ἑλένου Τροίηνδε κομίσσαι
λοιγὸν ἀδελφειοῖο μιαιφόνον ἐκ Λήμνοιο.
Τῷ γὰρ Ἀπόλλων Φοῖβος ἔχειν λίθον αὐδήεντα
δῶκε, σιδηρίτην νημερτέα · τόν ῥα βροτοῖσιν
ἥνδανεν ἄλλοισιν καλέειν ἔμψυχον ὀρείτην,
γυρόν, ὑποτρηχύν, στιβαρόν, μελανόχροα, πυκνόν ·
ἀμφὶ δέ μιν κύκλῳ περί τ' ἀμφί τε πάντοθεν ἶνες
ἐμφερέες ῥυτίδεσσιν ἐπιγράβδην τανύονται.
Ἤματα μὲν τρί' ἐφ' ἑπτὰ βίην Ἑλένοιο πέπυσμαι
θηλυτέρης τε λέχος φεύγειν καὶ κοινὰ λοετρά,

Vers 343. Voir, sur la même pierre, les vers 461-473.

Après le vers 343] « περὶ ὀστρίτου λίθου B; ὀστρίτης P, edd. ante Herm.; περὶ ὀστρίτου Pal., V. A mg. »

346. « A mg. : περὶ ἐχίδνης. »

καὶ μίμνειν ἀμίαντον ἐδωδῆς ἐμψύχοιο·
ἀενάῳ δ' ἐνὶ πέτρον ἐχέφρονα πίδακι λούων,
φάρεσιν ἐν καθαροῖσιν, ἅτε βρέφος, ἀλδήσασκε,
καὶ θεὸν ὣς λιπαρῇσιν ἀρεσσάμενος θυσίῃσι,
λᾶαν ὑπερμενέεσσιν ἀοιδαῖς ἔμπνοον ἔρδεν.
Ἐν καθαρῷ δὲ φάος μεγάρῳ λύχνοισιν ἀνάπτων,
χερσὶν ἑαῖς ἀτίταλλε θεουδέα πέτρον ἀείρων,
μητέρι νήπιον υἱὸν ἐοικὼς ἀγκὰς ἐχούσῃ.
Καὶ σὺ δ', ἐπὴν ἐθέλῃς ὄπα δαιμονίην ἐπακοῦσαι,
ὧδ' ἔρδειν, ἵνα θαῦμα μετὰ φρεσὶ σῇσι δαείης·
ὁππότε γάρ μιν πάγχυ κάμῃς ἐνὶ χείρεσι πάλλων,
ἐξαπίνης ὄρσει νεογιλοῦ παιδὸς ἀϋτήν,
μαίης ἐν κόλπῳ κεκληγότος ἀμφὶ γάλακτι.
Χρὴ δέ σε τετληῶτι νόῳ ἐπακουέμεν αἰεί,
μή πως ἠπεδανοῖο λυθεὶς ὑπὸ δείματος ἔξω
ἐκ χειρῶν οὐδάσδε βαλὼν χόλον αἰνὸν ὀρίνῃς
ἀθανάτων. Τόλμα δὲ θεοπροπίην ἐρεείνειν·
πάντα γὰρ ἐξερέει νημερτέα. Καί μιν ἔπειτα
πλησίον ὀφθαλμῶν, ὅτε κεν λήγῃσι, πελάσσας,
δέρκεο· θεσπεσίως γὰρ ἀποψύχοντα νοήσεις.
Τῷδε μὲν Ἀτρείδῃσιν ἁλώσιμον ἔφρασε πάτρην
Λαομεδοντιάδης, φοιβήτορι λᾶι πιθήσας.
Σοὶ δέ τι καὶ σθένος ἄλλο σιδηρίταο πιφαύσκω·
ἑρπετὰ γὰρ δὴ πάμπαν ὑποτρομέοντι ἔοικας.
Σεῖο δ' ἔχεν πολὺ μεῖζον ἀκοιμήτοιο νόοιο
δεῖμα Φιλοκτήτης, μεμνημένος αἰὲν ἐχίδνης.
τοὔνεκα Πριαμίδαο σαόφρονος οὔ ποτε νόσφιν
ἤθελεν ἔρχεσθαι, γουνούμενος, ὄφρα τιν' εἴπῃ
θαλπωρήν, εἴ πέρ ποτ' ἐπὶ χθόνα μητέρα θηρῶν
ἔρχηται, πῶς κεν πολιὸν γένος ἐκπροφύγῃσι.
Τῷ δ' ὅγε Λητοΐδην ἐπέων ἐπιμάρτυρα Φοῖβον
κικλήσκων ἀγόρευε, τὰ δὴ νῦν σοι καταλέξω.

Εὖτέ με παῖδ' ἐδίδασκεν Ἀκειρεκόμης ἀγορεύειν
μαντοσύνας, μέγαν ὅρκον ἐκέκλετο πρῶτον ὀμόσσαι,
ψευδέα μή ποτε μῦθον ἐνισπέμεν ἀνθρώποισι.
Τοὔνεκεν ἀτρεκέως μάλα τοι ἐρέω τὰ ἕκαστα.
Φράζεο νῦν, ἥρως ἑκατηβόλε, μῦθον ἐμεῖο.

Αὐτὴ γαῖα μέλαινα πολυκλαύτοισι βροτοῖσι

τίκτει καὶ κακότητα καὶ ἄλγεος ἄλκαρ ἑκάστου ·
γαῖα μὲν ἑρπετὰ τίκτε, τέκεν δ' ἐπὶ τοῖσιν ἀρωγήν ·
ἐκ γαίης δὲ λίθων πάντων γένος, ἐν δ' ἄρα τοῖσι
κάρτος ἀπειρέσιον καὶ ποικίλον · ὅσσα δύνανται
ῥίζαι, τόσσα λίθοι · μέγα μὲν σθένος ἔπλετο ῥίζης,
ἀλλὰ λίθου πολὺ μεῖζον · ἐπεὶ μένος ἄφθιτον αἰεὶ
γεινομένῳ μήτηρ καὶ ἀγήραον ἐγγυάλιξεν ·
ἡ δὲ καταθνήσκει τε, μινυνθάδιον θαλέθουσα,
καὶ τόσον αὐτῆς κάρτος, ἐφ' ὁππόσον ἔμπνοός ἐστιν ·
εἰ δέ κ' ἀποπνεύσῃ, τίς ἔτ' ἐλπωρὴ παρὰ νεκρῆς;
Ἐν μὲν δὴ βοτάναις ἄγυριν λυγρῶν τε καὶ ἐσθλῶν
δήεις, ἐν δὲ λίθοις ἄτην οὐ ῥεῖά κεν εὕροις.
Ἤτοι ὅσαι βοτάναι, τόσσοι λίθοι. ἀλλὰ σύ γ' ἥρως,
λᾶϊ σιδηρίτῃ πεφυλαγμένος, ἑρπετὰ πάντα
θαρσαλέως, εἰ καί τοι ὁμιλαδὸν ἀντιόωσιν,
ἔρχεσθαι διὰ μέσσα, κελαινῆς οὐκ ἀλεγίζων
λώβης · οὐ γὰρ ἔτι σφι θέμις μεμνῆσθαι ὀδόντων,
οὐδ' εἴ κεν στείχοντος ἐνιχρίμπτοιντο πόδεσσιν.
Οὐδὲ γὰρ οὐδὲ μένειν περ ἔτι προφανέντα δύνανται,
ἀλλὰ μετά σφισι θάμβος, ἐλαυνομένοισι δ' ὁμοῖα
ἔσσυνται · τὰ δὲ καί περ ἐναντίον ἀΐξαντα,
ἂψ ὀπίσω παλίνορσα μεθερπύζειν μενεαίνει ·
καί σφισιν ἐξαπίνης ῥόθος ἵσταται, οὐδέ τι πρόσσω
νίσσεται, ἀλλ' ὀρέγοντα πέλας περιμήκεα δειρὴν
γλώσσῃσιν μεμάασι περισσαίνειν σκύλακες ὥς.
Πολλάκι καὶ κατέδαρθε δαφοινῶν ἄγχι δρακόντων
ἀμφὶ κυνηγεσίῃσι μένων ἐν τάρφεσιν Ἴδης
θηρητὴρ Εὔφορβος ἀρωγῇ τῇδε πεποιθώς.
Δῶκα γὰρ ἀντομένῳ λίθον ἱερόν · οὐδ' ὄφις αὐτῷ
ἐκ μάλα περ πολλῶν ἐλθεῖν κατεναντίον ἔτλη.
Τέρπετο δ' Εὐφόρβῳ περικαλλέϊ φέρτατος ἀνδρῶν
αἰχμητὴς Μελάνιππος, ἀνεψιὸς ἐσθλὸς ἐμεῖο,
εἶδος ἀμώμητον καὶ ἐπ' εἴδεϊ κάρτος ἄρειον
αἰζηοῦ ποθέων δουρικλυτοῦ, εὐπλοκάμοιο.
τοὔνεκα καὶ μετὰ θῆρας ἀλωμένου οὔ ποτε νόσφιν
ἔσθενεν Εὐφόρβοιο μένειν Ἱκετάονος υἱός ·
ἀλλ' αἰεὶ λασίοισιν ἐν οὔρεσιν ἀντιθέοιο
καγχαλόων κούροιο μετ' ἴχνια σύν τε κύνεσσιν

ἕσπετο σύν θ' ἑτάροις ἔθελέν τέ οἱ οἷος ἕπεσθαι.
Ἦ μέν κέν μιν πολλὰ πατὴρ μενέαινεν ἐρύκειν,
ἀσχαλόων ἑὸν υἷα φίλον θήρεσσι μάχεσθαι·
καὶ Πριάμοιο βίη μιν ἐρήτυεν· οὐδ' ὅγε θυμῷ
πείθετ', ἐπεὶ οὐκ ἐθέλεσκέ ποτ' Εὐφόρβοιο λιπέσθαι.
Ῥειά γε μὴν ἀέκοντα μέλας ἠρύκακεν ὕδρος,
νέρθεν ὑπὸ κνήμην ὀλεσίμβροτον ἰὸν ἐλάσσας·
τὸν μὲν ἔπειτ' ὀλοὴ νόσος ἔλλαβεν, οὕνεκ' ἔμελλεν
αὖθι λελείψεσθαι, τό ῥά μιν καὶ μᾶλλον ἔτειρεν.
Οἰκτείρων δ' ὀρέγοντα χέρας ποτὶ γούνατ' ἐμεῖο,
αὐτοῦ τοῦδε λίθοιο διατρίψαντα κέλευσα
λεπταλέην ἄχνην ἐπιπασσέμεν ἕλκεϊ λυγρῷ·
καί ῥα μάλ' αὐτίκα φῶτα κραταιὴ κάλλιπε νοῦσος.
Τοῖον γαῖα βροτοῖσιν ἀρηγόνα τίκτεν ὀρείτην,
ὅστε καὶ οὐταμένοις ἄκος ἡρώεσσι κομίζει
καὶ στείρῃσι γυναιξὶ τεκεῖν φίλα τέκνα δίδωσι.
ποικίλα γὰρ θνητοῖσι λίθους ἔρδειν ἀγορεύω.
18 *bis*] Ὡς καὶ ἑῆς ποτε μητρὸς Ἀβαρβαρέης ἐπακούσας,
ἀνδρῶν εὖ μάλα νοῦσον ἐπισταμένης ἀκέσασθαι,
Βουκολίδης Εὔφορβος ἀγαυοῦ φάσκεν ὀφίτου
φάρμακα μὴ μούνων ὄφεων κατένωπα δύνασθαι,
ἀλλὰ καὶ ὀφθαλμοῖσι φέρειν φάος ἠδὲ βαρεῖαν
ἐκ κεφαλῆς ἕλκειν ὀδύνην· ἤδη δέ τιν' ἀνδρῶν
οὔασι δηθύνοντα καθήρας ὤπασεν αἶψα
καὶ δὴ καὶ λεπτῆς ἐριήκοον ἔμμεν αὐτῆς.
Ἤδη καί τινα φῶτα χόλῳ χρυσέης Ἀφροδίτης
ἔργα πρὸς ἱμερόεντα γάμων ἀμενηνὸν ἐόντα
μεμνῆσθαι φιλότητος ἀκεσσάμενος προΐαλλεν.
Ἐν πυρὶ δ' εἴ κε βάλῃς μιν, ὀδωδὴν ἑρπετὰ τοῖο
φεύξεται, οὐδ' ἔτι πω μενέει σχεδόν, οὐδ' ἐνὶ χειῇ.
19] Φεύγει καὶ κνίσσῃσι γαγάτην ὀρνυμένῃσι,
τείροντα θνητοὺς ἐχεπευκέϊ πάντας ἀϋτμῇ.
χροιὴν δ' αἰθαλόεις, πλατύς, οὐ μέγας ἔπλετ' ἰδέσθαι,
καρφαλέῃ δ' ἴκελον πεύκῃ φλόγα δῖαν ὀρίνει.

448. « ἐπεὶ οὐκ contrahuntur. » Hermann.
461. Voir ci-dessus les vers 338-353 (§ 18), consacrés à l'ὀφίτης. Il est évident, d'après le contexte, que malgré la similitude du sujet, on ne peut rapprocher les deux morceaux.
Après le vers 473] « γαγάτης M et edd. ante Tyrwh.; γατάτης P; περὶ γαγάτου B, Pal. V, A mg. »

ἀλλ' ὀλοὸν ποτὶ ῥῖνας ἄγει μένος · οὐδέ τι φῶτες
λήσονθ' ὧν κ' ἐθέλοις ἱερὴν ἀπὸ νοῦσον ἐλέγξαι.
Γνάμπτει γάρ σφεας αἶψα χαμαὶ προπρηνέας ἕλκων ·
οἳ δ' ἄρ' ὑπὸ σφετέρου πεπαλαγμένοι ἀφλοισμοῖο
στρωφῶντ' ἔνθα καὶ ἔνθα κυλινδόμενοι κατὰ γαῖαν.
Τοῖσι δὲ χωομένη φρένα τέρπεται, ὁππότ' ἴδησι
πήματα πάσχοντας κεραὴ πόδας ὠκέα Μήνη.
Θηλυτέρη δ' εἴ κεν πολυφάρμακον ἀμφιδεδῶσα
καπνὸν ὑπὸ σπλάγχνοισιν ἀναΐσσοντα δέχηται,
ἀθρόος ἔνδοθεν ὦκα μέλας καταλείβεται ἰχώρ,
ὅστε γυναικοφόνος νεάτη μίμνων ἐνὶ γαστρὶ
κέκληται. Τότε δ' αὖτις ὑπὸ πνοιῇσι λίθοιο
δερκομένη γάνυταί τις ἑῆς θολὸν ἐκβλύζοντα
νηδύος · ἐκ γὰρ νοῦσον ἀπειρεσίην ἀλεείνει.
Ἄλλα τε πόλλ' ἐπὶ τοῖσι γαγάτην θέσκελα ῥέζειν
οἶδα · σὲ δὲ κνίσσησιν ἐλαύνων ἑρπετὰ τέρψει.
20] Σκορπίε, σεῖο δὲ λᾶαν ὁμώνυμον ἐμμέναι ἥρως.
ἀγλαὸς Ὠρίων οὐκ ἔκλυεν · ἦ γάρ, ὀΐω,
πικρῇσιν τότε γυῖα πεπαρμένος ἀμφ' ὀδύνῃσι,
μᾶλλον σφωϊτέρων κεν ἔχειν ἐθέλεσκέ μιν ἄστρων.
21] Οὐδ' ὅγε κορσήεντα λίθον κλύεν, οὕνεκα μιχθεὶς
δριμέϊ σὺν σκορόδοιο καρήατι, τοξευτῆρα
πευκεδανῶν ὤκιστα βελέμνων σκορπίον εἴργει.
Τὸν μὲν ἐγὼ κόρσῃ μάλ' ἐοικότα φημὶ βροτείῃ
παύειν, ὀξυτάτῳ τετριμμένον ἄμμιγα Βάκχῳ,
ἀμφίπολον θανάτοιο κελαινῆς ἀσπίδος ἰόν.
Μέτρῳ δ' ὅς κεν ἴσῳ μίξῃ ῥοδόεντος ἐλαίου,
κόψας ἐκ πυρὸς ὀπτόν, ἐν αὐχενίαις ὀδύνῃσιν
ἄλκαρ ἄγει · μέλιτος δὲ μετὰ γλυκεροῖο κερασθεὶς
ὕδατος ἀτηρὴν ὀλέκει κατὰ γαστέρος ἰλύν,
ἥτε καταΐγδην ὑπὸ νέρτερα νηδύος ἀνδρῶν
δυομένη φέρει ὄγκον ἀεικέα βουβώνεσσιν.
22] Ἴσθι δ' ἀμαλδύνειν σκορπήια κέντρα δύνασθαι

Après le vers 493] « σκορπίος P, Pal., add. ante Tyrwh.; περὶ σκορπίου B, V, A mg. »

Après le vers 498] « Titulus κορυφώδη in B, P. Pal., V; κορυφώδης Steph. et rell. ant. Tyrwh. »

Après le vers 509] « κουράλιον in P, et edd. ante Tyrwh. qui primus titulum omisit; κοράλιον in M; περὶ κοραλίου in B, V; περὶ κουραλίου in Pal; περὶ κοραλλίου A in marg. »

καὶ Περσηιάδαο μένος μέγα κουραλίοιο
ἠδὲ παλαμναίην ἀνεμώλιον ἀσπίδα θεῖναι.
Τοῦδε δέ μοι πάντων περιώσιον, ὅσσα φύονται,
Φοῖβος ἀκειρεκόμης φύσιν ἔμμεναι ἐξ ἑτέροιο
μυθεῖτ' εἰς ἕτερον στρωφωμένου εἶδος · ὅ τίς τοι
ψεῦδός κεν φαίη · τὸ δ' ἐτήτυμον οἶδα τετύχθαι.
Χλωρὴ γὰρ βοτάνη πρῶτον φύει, οὐδ' ἐνὶ γαίῃ,
ἥν γε φυτῶν ἴσμεν στερεὴν τροφόν, ἀλλ' ἐνὶ πόντῳ
ἀτρυγέτῳ, ἵνα φύκι', ἵνα βρύα γίνετ' ἐλαφρά.
αὐτὰρ ἐπεί κ' ἔλθῃσι μαραινομένη ποτὶ γῆρας,
ἤτοι μέν οἱ φύλλα περιφθινύθουσιν ὑφ' ἅλμης ·
αὐτὴ δ' ἐν βένθεσσιν ὑπὸ φλοίσβοιο θαλάσσης
νήχεται, ὄφρα ἑ κύματ' ἀποπτύσῃ αἰγιαλόνδε.
Ἔνθα δ' ἄρ' ἐξαπίνης μιν ἀναπλησθεῖσαν ὑπ' αἴθρης
βάζουσ', οἵ περ ἴδοντο, κρατυνομένην ὁράασθαι.
Δηρὸν δ' οὐ μετέπειτα πάγῳ περιπαχνωθεῖσα
πετροῦται, καὶ χερσὶν ἐν ὀκριόεντα τεῇσιν
ἀμφαφάεις λίθον, ὅς πρὶν ἔχων ὑγρὸν δέμας ἦεν.
Σχῆμα μὲν οὖν βοτάνης ἔτι οἱ μένει, οἷον ἔην περ,
οἵ τε κλάδοι, ὅσα τέ σφιν ἀκρόδρυα προσπεφύασιν,
ἥ τέ οἱ ἐβλάστησε καὶ ἐτράφη εἰν ἁλὶ ῥίζα,
φλοιός θ' ὅσπερ ἔην · φλοιὸς δέ γε λαϊνός ἐστι.
Τερπωλὴ δ' ἡδεῖα θεωμένου ἐς φρένα σεῖο
βήσετ' · ἐγὼ δ' οὐκ οἶδα τί μοι θέλγητρον ἰδόντι
αἰὲν ἐπὶ πραπίδας καταλείβεται · οὐδὲ δύνανται
ὄσσε κορεσθῆναι θηευμένου, ἀλλά με θάμβος
σεύεται ἐν στέρνοισιν ὀϊόμενον τέρας εἶναι ·
καί οἱ πιστεύων περ ἐολπά μιν εἶναι ἄπιστον.
Ἀλλ' οὐ Γοργείην μὲν ἐτώσιος ἀνθρώποισι
σμερδαλέην κεφαλὴν φάτις ἔμμεναι · οὐδ' ἄρα Περσεὺς
ὠκυπέτης πέλεται ψευδὲς τέρας ἡγήσασθαι.
Γοργόνα γὰρ Περσῆϊ δρακοντοέθειραν ἀκούεις
Ἄτλαντος νεάτοισιν ὑπὸ κρημνοῖσι δαμῆναι,
παρθένον ἀργαλέην, ἐρεβώπιδα, κῆρα μέλαιναν
ἀνθρώπων, οἷσίν κεν ἐπ' ἀνδροφόνω βάλεν ὄσσε ·
οἵ μιν δεῖμα πέλωρον ἀάσχετον ἀθρήσαντες
αἴσῃ λαϊνέῃ τεθνηότες ἑστήκασι.
Τὴν δ' οὔτ' εὐρύστερνος ἐναντίον Ἀτρυτώνη

δέρκεσθαι μενέαινεν, ἀδείμαντός περ ἐοῦσα,
οὔτε κασιγνήτῳ κέλετο, κρατερόφρονι φωτί,
χρυσογόνῳ Περσῆϊ φονευομένην περ ἰδέσθαι,
ἀλλὰ δόλῳ θήρειον ἀφήρπασεν αὐχένα κούρης,
ἦκα μάλ' ἐξόπιθεν χαμψώνυχον οὐ προϊδούσης
ἀμφιβαλὼν ἅρπην Κυλληνίδα λευκανίησι.
Τῆς δ' ἄρα καὶ φθιμένης περ ὀλέθριος ἔσκεν ὀπωπή,
καὶ στυγεροῦ Κρονίδαο μολεῖν ὑπὸ δῶμα κελαινὸν
πολλοῖς αἴσιμον ἔπλετ' ἐναιρομένοις ὑπὸ νεκρῆς.
Ἀλλὰ τότ' αἰγιαλόνδε φόνῳ πεπαλαγμένος ἥρως
ἐλθών, εἰσόκε λύθρον ἀποπλύνειε θαλάσσῃ,
θερμὴν ἐξ ὁμάδου κεφαλὴν ἔτι καὶ τρομέουσαν
Γοργείην κατέθηκεν ἐπὶ χλοεραῖς βοτάνῃσιν.
Ὄφρα δ' ὅγ' ἐν δίνῃσιν ἀναψύχεσκε θαλάσσης,
στείχων ἔκ τ' ὀλοοῖο πόνου δολιχῆς τε κελεύθου,
τόφρα δὲ πορφυρέοιο διαινόμενοι κορέσαντο
αἵματος οἵ ῥα κέχυντο χαμαὶ ὑπὸ κράατι θάμνοι.
Ἀμφὶ δ' ἄρα σφίσιν αἶψα θοαὶ πόντοιο θύγατρες
λύθρον ἐπεσσύμεναι θάμνοις περιπήγνυον αὔραι·
πήγνυτο δ' ὥστε σε πάγχυ λίθον στερεὴν οἴσασθαι·
οὐδ' ἔτ' ἔην οἴσασθαι, ἐπεὶ στερεὴ λίθος ἦεν.
Ἐκ δ' ὄλεσεν βοτάνης ὑγρὸν δέμας· ἀλλὰ καὶ ἔμπης
ὀλλυμένης πάμπαν βοτάνης οὐκ ὤλεσεν εἶδος.
Τὴν μὲν ἄρα χροιὴν ἐξ αἵματος ἔσχεν ἐρυθρήν,
ἀμφασίη δ' ἥρωα λάβε θρασύν, ὡς ἐνόησεν
ἐξαπίνης μέγα θαῦμα· τὸ καὶ πέλας αἶψα κιοῦσα
διογενὴς πολύμητις ἐθαύμασεν Ὀβριμοπάτρη.
Θῆκε δ', ἀδελφειοῦ κλέος ἄφθιτον ὥς κε πέλοιτο,
αἰεὶ κουράλιον προτέρην φύσιν ἀλλάσσεσθαι.
Ἐν δὲ βίην οἱ δῶκεν ἀπειρεσίην Ἀγελείη,
φῦλα φυλασσέμεναι κρυερὴν ἐς δῆριν ἰόντα,
ἢ δολιχὴν ἕρπων ἐς ἀταρπιτὸν εἴ μιν ἔχει τις,
ἢ περόων ἅλα δῖαν ἐϋσσέλμῳ ἐνὶ νηΐ.
Καὶ γὰρ Ἐνυαλίοιο θοὸν δόρυ μαινομένοιο
καὶ λόχον ἀνδροφόνων φεύγειν ἄπο ληϊστήρων,
καὶ πολιὸν Νηρῆα κυκώμενον ἐξυπαλύξαι
ἐσθλὴ κουραλίοιο βίη θνητοῖσιν ὀπάσσει.
Γλαυκὴν δ' ἐγρεκύδοιμον ἀταρβέα Τριτογένειαν

σφωϊτέρων καμάτων ἐπαμύντορα κικλήσκουσι.
Φάρμακα δ' ὅσσα πέλονται ἀτάσθαλα καὶ κατάδεσμοι
ἀραί τ' ἀγνάμπτοισιν Ἐριννύσι πάγχυ μέλουσαι,
εἴτε μύσος κεύθων οἰκοφθόρον οὐκ ἐνόησεν
ἀνήρ, εἴθ' ὅσα λύματ' ἐπὶ σφίσιν ἠδ' ἐπαοιδὰς
σχέτλιοι ἀλλήλοισι μεγαίροντες τελέουσι,
πάντων ἀντίλυτρον δήεις κρατερώτατον εἶναι.
Κόψας δὲ σπείρειν ξανθῇ Δημήτερι μίσγων,
καί τοι λοιγὸν ἅπαντα τεῆς ἀπάτερθεν ἀρούρης
αὐχμούς τ' ἐξελάσει σταχύων γλάγος ἐκπίνοντας
ἀτηρήν τε χάλαζαν, ἀπειρεσίοισι βελέμνοις
ἀγρῷ τραῦμα φέρουσαν ἀμήχανον ἐξακέσασθαι.
Βρωτήρων τ' ἐπὶ τοῖσι γένος πάντων ἀλαπάξει,
εὐλάς τε κάμπας τε καὶ αἰθερίην ἐρυσίβην,
ἥτε κατ' οὐρανόθεν πταμένη ποτὶ καρπὸν ἐρυθρὴ
ἀμφὶ περὶ σταχύεσσι περισμύχουσα κάθηται.
Ἔκ τε μυῶν ἀγέλας, ἔκ τ' ἀκρίδος ἄπλετον ἔθνος
ῥαίσει, καὶ Κρονίδαο παραΐσσουσι κεραυνοί,
παιδὸς ἑοῦ κλέος ἔρξαι ἐτώσιον ἀζομένοιο.
Κεῖνο πολὺ πρώτιστον ἀνερχόμενος περάτηθεν
κουράλιον θνητοῖσι φέρων πόρεν Ἀργειφόντης.
τύνη δ' ἀκρήτοιο μετ' οἴνου πινέμεν αἰεὶ
μέμνεο πευκεδανῆς ἕνεκ' ἀσπίδος, ὥσπερ ἔειπον.

23] Καὶ πολυειδέα πῖνε μετ' ἀκρήτου Βρομίοιο
μορφὴν παντοίην ἐπιειμένον ἐσθλὸν ἀχάτην.
Πολλὰ μὲν οὖν ῥέα γ' ἐστὶν ἀχάτου χρώματ' ἰδέσθαι·
ἐν γάρ οἱ δήεις ὁρόων ὑάλωπιν ἴασπιν
σάρδιά θ' αἱματόεντα καὶ αἰγλήεντα μάραγδον.
Ἐν δ' ὅ γε μιλτοπάρηος· ἀτὰρ καὶ χαλκὸν ἐν αὐτῷ
δήεις καὶ χροιὴν ἐαροτρεφέος μήλοιο.
Ἀλλ' οἷος πάντων προφερέστατος, εἴ κέ μιν εὕρῃς
εἶδος ἔχοντα δαφοινὸν ἀμαιμακέτοιο λέοντος·
τῷ καί μιν προτέροισι λεοντοδέρην ὀνομῆναι
ἥνδανεν ἡμιθέοισι, κατάστικτον σπιλάδεσσι
πυρσῇσιν λευκαῖς τε, μελαινομέναις χλοεραῖς τε.
Τὸν δ', εἰ σκορπείην ὀλοφυρόμενός τις ἀκωκὴν

Après le vers 609] « ἀχάτης in M, P, edd. ante Tyrwh.; περὶ ἀχάτου B, Pal., V ».

ἔλθοι, ἀερτάζειν περὶ ἕλκεϊ κέκλεο λυγρῷ
ἤ μιν ἐπιπλάσσειν · ἀπὸ γὰρ μινύθουσιν ἀνῖαι.
Ἱμερτόν τε γυναιξὶ δυνήσεαι ἀνέρα θεῖναι,
καὶ θέλξεις μύθοισι βροτούς, καὶ πάντα κομίζων
ὅσσα κεν αἰτήσειας ἀφίξεαι οἴκαδε χαίρων.
Καὶ νούσῳ κάμνοντα σαωθῆναι θέμις ἐστίν,
ὅς μιν ἐνὶ σφετέρῃσι λαβὼν χείρεσσι κατάσχῃ ·
εἰ δὲ Ζεύς τοι τόν γε βιωσέμεν ἀρνήσηται,
ἀλλὰ νόει σὺ τεῇσιν ἐνὶ φρεσίν, οὕνεκεν αὐτῷ
ῥῆξε λίνον Κλωθώ · τὸ δὲ κ᾽ ἔρχεται ὕστατον ἦμαρ.
24] Εἰ δὲ πυριφλεγέθων ἑτερήμερος ἄνδρα θαμίζων
ἢ κρυερὸς μάρπτων πυρετὸς παραδηθύνῃσιν,
ἠὲ τεταρταίης πῆμα βραδύ, μή ποτε λήγειν
βουλομένης, ἀλλ᾽ αἰέν, ὅπῃ πελάσῃσι, μενούσης,
τόνδε σύ γ᾽ ἰᾶσθαι δι᾽ ἀμύμονος ἀντιαχάτου ·
οὗτος γὰρ πυρετῶν πολὺ φέρτερος. Αἶψα δὲ σῆμα
ἐξερέω, τό περ ὦκα βίην δείκνυσι λίθοιο.
Ἐν γάρ μιν κεράεσσι βαλὼν μέσον ἑψομένοισι,
τυτθὸν ἀνασχέσθαι · τὰ δὲ τήκεται ἔνδοθι πάντα.
25] Οὐ μέν τοι καὶ τόνδε πρὸς ἑρπετά φημι δύνασθαι,
ἀλλ᾽ ἕτερον δώσω χατέοντί τοι ἰητῆρα
οὐρανόθεν γεγαῶτα · σὺ δ᾽ ἐν φρεσὶ βάλλεο μῦθον.
Εὖτε γὰρ αἰγλῆεν σφέτερον δέμας εὐρύστερνος
Οὐρανός, ὠμηστῆρος ὑπαὶ παλάμῃσι Κρόνοιο
δῃωθεὶς εἴλιξεν ἀπειρεσίην ἐπὶ γαῖαν,
αἰθέρος ἐκ δίης πεσέειν οὐδάσδε μενοινῶν,
ὄφρα κε πάντ᾽ ἀΐδηλα πολύτροχον ἀμφιπετάσσας,
νῶτον ἑὸν τεύξαι, μηδ᾽ Οὐρανοῦ ἀστερόεντος
θυμὸν ἀνιήσας Κρόνος οὐρανὸν εἰσέτι ναίοι ·
δή ῥα τότ᾽ ἀμβροσίοιο κατειβόμεναι φορέοντο
αἵματος ὠτειλῆθεν ἐπὶ τραφερὴν ῥαθάμιγγες,
τὰς οὐ μόρσιμον ἦεν ἀπ᾽ ἀθανάτοιο κιούσας
σώματος ὄλλυσθαι · μενέμεν δ᾽ ἐριβώλακι Μοῖραι
ἐν γαίῃ προγόνοιο θεῶν σόον αἷμα κέλοντο.
Μεῖνε μὲν οὖν, αὖον δὲ πυρίγληνοι θέσαν ἵπποι

Après le vers 632] « ἔτι περὶ ἀχάτου B, P, Pal. V (qui τοῦ om.), edd. ante Tyrwh. »

Après le vers 641] Espace pour un nouveau chapitre, sans titre, dans les mss.

Ἠελίου · καί κέν τις ἐπιψαύων ἐρίσειε
λᾶαν ἔχειν ἐνὶ χερσίν, ἔχοι γε μὲν αἷμα πεπηγός.
Ἐν γάρ οἱ χρὼς αὐτὸς ἐτήτυμον αἵματός ἐστιν,
ἐν δὲ καὶ ὕδατι ῥεῖα δαμασθεὶς ἀτρεκὲς αἷμα
γίνεται · αἱματόεις δὲ καὶ οὔνομα λᾶας ἔτ' ἀνδρῶν
ἐκ προτέρων κέκληται · ἀκήρατα δ' οὕνεκ' ἔοικε
φάρμακ' ἔχειν, νημερτὲς ἀπόρροιάν μιν ἀοιδοὶ
οὐρανίην κλείουσιν ἐς ἀνθρώπους ἀφικέσθαι.
Οὐ γὰρ ὅ γ' οὔτε νέην ἐθέλει θνητοῖσιν ὀϊζὺν
ἔρχεσθαι ποτὶ ὄσσε, παλαιοτέρην δ' ἀπερύκει
πινόμενος λευκοῖο μετὰ γλάγεος · κεράσας δὲ
ἰχῶρι σφετέρῳ γλυκερὸν μέλι, τὸν δὲ δαμάσσας...
ἐκ βλεφάρων ἀπὸ πᾶσαν ἄγει νόσον · ἀσχαλάᾳ γὰρ
εἴργεσθαι θνητοὺς ὁράαν ἐρατεινὰ πρόσωπα
πρεσβυτάτου μακάρων ἀστροβλεφάρου βασιλῆος.
Καὶ γλήνησι τεῇσιν, ὁμιλήσας κυλίκεσσιν...
ἀνέρος αἰδοίων ἄκος ἔσσεται, ὅς κε πίῃσι.
Καί μιν ἐγὼν Αἴαντι δαΐφρονι πόλλ' ἐπέτελλον,
ἔντεσι δῆριν θεῖναι ἀμύμονος ἀμφ' Ἀχιλῆος
ἐσσυμένῳ, νίκης ἐπαρηγόνα χειρὶ κομίζειν.
Καί κεν Ὀδυσσῆος ταλασίφρονος ἀντίον αὐτῷ
κῦδος Ἀθηναίη περ ἑλέπτολις ἐγγυάλιξεν ·
ἀλλ' οὔ οἱ μοῖρ' ἔσκε παραιφαμένοιο πιθέσθαι ·
τοὔνεκα θεσπέσιόν μιν ἀνὴρ ἀθέριζεν ὄνειαρ,
λάζετο δ' οὐλοὸν ἄορ. ἀτὰρ σύ γε τοῖο μὲν αἶσαν
ἅζεο, πρὸς δὲ μέλαιναν ὀλισθηροῖο γενέθλην
ἑρπετοῦ αἱματόεντα δαεὶς λίθον, αἰὲν ἑταίρους
πινέμεναι νύμφαις ἐνὶ νηϊάδεσσι κέλευε.
Καὶ μὲν ἐγὼ λαιψηρὸν ἐμὸν θεράποντα Δόλωνα
αὐτοκασιγνήτῳ μεμαὼς φίλον Ἕκτορι θεῖναι,
πρόφρων ὤπασα λᾶαν Ὀλύμπιον αἰτήσαντι ·
αὐτὰρ ὅ γ' ἐξαπίνης Τρώων προπάροιθεν ἁπάντων
Ἕκτορι Πριαμίδῃ κεχαρισμένος ἔπλεθ' ἑταῖρος.
Τοῖο δ' ἕκητί μ' ἐκεῖνος ἀμοιβήδην ἀρέσασθαι
ἱέμενος, λιπαραῖον ἐπίκλησιν παρὰ πατρὸς

Après le vers 669] « Lacunae signa posuit Abel ». Cet éditeur ne s'est pas expliqué sur cette lacune présumée ni sur celle qu'il suppose après le vers 673.

ὤπασεν ἀφνειοῖο λαϐὼν λίθον, ὅν ποτ' ἄρ' αὐτὸς
ἐλθὼν Ἰλιόθεν κρατερὸν μετὰ Μέμνονα κῆρυξ,
σήματ' ἐμεῖο πορόντος ἀνευρὼν Ἀσσυρίηθεν
χρυσοῦ τιμήεντος ἀρείονα δεῦρο κόμισσε,
μυρία κεῖθι μάγοισι πορὼν πολυΐδμοσι δῶρα.
Εἰ δ' ἄγε δέχνυσο μῦθον · ἐγὼ δ' ἐδάην, τά κε λέξω.

Πρῶτα μὲν οὖν σπένδοντος ἀναιμάκτων ἐπὶ βωμῶν
— οὐ γὰρ ἄγειν θέμις ἐστὶ θυηλὴν ἐμψύχοιο —
Ἥλιον εὐρύοπα κλῄζειν ὕμνοισιν ἄνωγα
καὶ χθόνα πίειραν, πάντων τροφὸν οὐθατόεσσαν.
Δεύτερον αὖτ' αἴθωνος ὑπὲρ λίθον Ἡφαίστοιο
τήκειν, ἡδείῃ ταναοὺς θέλγοντα δράκοντας
ὀδμῇ, τὴν ἄρα κεῖνοι ἀνερχομένην ἐσορῶντες,
σπερχόμενοι ποτὶ βωμόν, ἀολλέες ἐκπρομολόντες
χηραμόθεν, ῥώονται ἐφερπύζοντες ἅπαντες.
Αὐτὰρ ἔπειτα λίνοιο νεόπλυτα φάρεα κοῦροι
ἑσσάμενοι τρεῖς, ὀξὺ φέρων ἄμφηκες ἕκαστος
ἆορ, ἀναρπάζειν ὄφιν αἰόλον, ὅς κε μάλιστα
κνίσσης ἱμείρων πυρὸς ἐγγύθι δινεύησι.
Τοῦ δὲ διαμελεϊστὶ δαϊζέμεν ἐννέα μοίρας ·
τρεῖς μὲν ἐπὶ κλῆσιν πανδερκέος ἠελίοιο,
τρεῖς δ' ἑτέρας γαίης ἐριϐώλου λαοϐοτείρης,
τρεῖς δὲ θεοπροπίης πολυΐδμονος, ἀψεύστοιο ·
τὰς δὲ λέϐης κεράμοιο τετυγμένος αἱματοέσσας
δεξάσθω · καὶ δῶρον ἐλάϊνον Ἀτρυτώνης
ἠδὲ μέθυ Βρομίοιο καλεσσιχόρου καταχεύειν,
ἐν δ' ἅλας ἀργεννοὺς βαλέειν, θεράποντας ἐδωδῆς ·
ἐν δέ σφιν καὶ δριμὺν ἐπήλυδα κόκκον ἄνωγα
μῖξαι ῥυσοχίτωνα, μελαγχροίην, ἐρίτιμον ·
ἐν δὲ καὶ ὅσσα περ ἄλλα μετ' ἀλλήλοισι μιγέντα
ἵμερον ἐσπέμπουσιν ἐδητύος ἀνθρώποισιν.
Ὄφρα δ' ἐνὶ τρίποδος κρέα γαστέρι δάμνατ' ἐόντα,
τόφρα δὲ κικλήσκειν μακάρων ἄρρητον ἑκάστων
οὔνομα · τέρπονται γάρ, ἐπεί κέ τις ἐν τελετῇσι
μυστικὸν ἀείδῃσιν ἐπώνυμον οὐρανιώνων.
ἀρᾶσθαι δὲ Μέγαιραν ἀπόπροθι παφλάζοντος
σευέμεναι τρίποδος κακομήχανον · ἐς δ' ἄρα τούς γε
πνεῦμα διιπετὲς ἔνδον ἄγειν ἱερὰς ἐπὶ μοίρας.

Ὁππότε δ' ἐψομένοισιν ἐπὶ κρεάεσσιν ἵκηται,
δαίνυσθαι τότ' ἔπειτα κορέννυσθαι μεμαῶτας
αὐτόθεν ἐκ τρίποδος · τὰ δὲ λείψανα γαῖα καλύπτοι ·
καί σφιν ἐπισπεῖσαι λευκὸν γάλα καὶ μέθυ ἡδὺ
καὶ λίπ' ἐπήρατον ἠδὲ μελίσσης ἄνθιμον εἶδαρ ·
καὶ στέψαι πλέξαντας ἀκρόδρυα καρποφόροιο
παρθενικῆς ἀφελόντας ἐλαίης, ἀμφὶ δὲ κόρσαις
σφωϊτέραις πέπλους ἑλέειν οἰκόνδε κιόντας ·
μηδὲ μεταστρωφᾶσθαι, ἐπεί κ' ἀπονόσφι τράπησθε,
ἀλλ' αἰεὶ προτέρην ἐς ἀταρπιτὸν ὄσσε φέροντας
ἔρχεσθ' ἐς μέγαρον μηδὲ προτιμυθήσασθαι,
εἴ κέν τις ξύμβληται ὁδίτης ἔστ' ἂν ἵκησθε
ἐς δόμον · ἔνθα δ' ἔπειτα θυηλὰς ἀθανάτοισιν
ἐξαῦτις ῥέζοντας ἀρώματα ποικίλα καίειν.
Ταῦτ' ἐγὼ ἐκτελέσας, ὅσα τ' ἔσσεται, ὅσσα τε κοῦφοι
ὄρνιθες κλάζουσιν, ἐπίσταμαι, ὅσσα τε θῆρες
ὠμησταὶ τετράπεζοι ἐνὶ σφίσιν ὠρύονται.
26] Ἔνθεν ἐγὼν ἐδάην καὶ Βακχικὰ νεβρίταο
δῶρα λίθου, Βρομίῳ κεχαρισμένα · τόν περ ἔχοντες
ἄνθρωποι θύοιτε · καὶ ἀράων ἀΐουσιν
Οὐρανίδαι. Γυμνῷ δὲ ῥάχιν ποδὶ πευκεδανοῖο
εἴ κέν τις θλίψας ὄφεως διὰ σάρκας ἀκάνθη
δηώση σφετέρας, ὀδυνήφατος ἔσσεται αὐτῷ
νεβρίτης. Ἔρδει δ' ἀλόχῳ πόσιν ἱμερόεντα.
27] Ἔνθεν καὶ κατένωπα κελαινῆς ἀσπίδος ἔγνων
καρτερὰ φάρμακα σεῖο, βροτοσσόε θέσκελε πέτρη,
τῆς ὄνομα χροιή τε πέλει χλοεροῖο πράσοιο.
28] Ἔνθεν καὶ σέο, δῖε χαλάζιε, πειρηθῆναι
ἐν θυμῷ βαλόμην, καί σευ μένος εὗρον ἄριστον.
Ἄμφω γάρ, καὶ νοῦσον ἀναψύχεις πυρόεσσαν,
καί μοι σκορπιόθεν βεβολημένῳ ἦρα κομίζεις.

754. νεβρίτης] « νευρίτης A ; νευρίτις B, P, Pal, V et edd. ante Herm. νευρῖτις M ; νεβρίτης Herm. ex Tyrwhitti conj. ad v. 748 (νεβρῖτις vel potius νεβρίτης) ». La leçon νεβρίτης ne fait pas de doute.

Après le vers 757] Espace d'un vers, sans titre dans B. P. Pal., V. Titre dans les édd. d'av. Tyrwh. : χαλάζιος.

Après le vers 761, nous ajoutons ἐπίλογος comme rubrique correspondante au προοίμιον.

< ΕΠΙΛΟΓΟΣ >

Λητοΐδαο μάλα χρησμοῖς, Ποιάντιος ἥρως,
ἑσπόμενον τάδε πάντα μ' ἀληθέα φημὶ πιφαύσκειν.
Αὐτοκασιγνήτην κεχολωμένος Ἀργυρότοξος
Κασσάνδρην ἐκέλευσεν ἀκουόντεσσιν ἄπιστα
θεσπίζειν Τρώεσσιν ἐτήτυμά περ φρονέουσαν·
Αὐτὰρ ἐγὼ καὶ πρόσθεν ἀπώμοσα καρτερὸν ὅρκον,
ψευδέα μή ποτε μῦθον ἐνισπέμεν ἀνθρώποισι.
Καὶ νῦν ἀτρεκέως μάλα τοι λέξαντος ἕκαστα
ἡμετέροις, ἥρως ἑκατηβόλε, πείθεο μύθοις.
Ὣς ἄρ' ἔφη Πριάμοιο διοτρεφέος φίλος υἱός,
ἀτρέστου θεράποντι φέρων χάριν Ἡρακλῆος·
νῶϊ δὲ ποιήεσσαν ἐς ἀκρώρειαν ἰοῦσι
τρηχεῖαν μάλα μῦθοι ἀταρπιτὸν ἐπρήυναν.

ÉPITOMÉ

OU

PARAPHRASE DU LAPIDAIRE ORPHIQUE

ET ARTICLES COMPLÉMENTAIRES

Ms. B, f. 175 v. ΟΡΦΕΩΣ ΛΙΘΙΚΑ ΚΗΡΥΓΜΑΤΑ

Textes contenus dans le Baroccianus 131 (= B),

P. 138, Abel. 1] Λίθος κρύσταλλος ὁ πᾶσι γνώριμος. Οὗτος ὠνόμασται μὲν ἀπὸ τῆς κρυσταλλοειδοῦς καὶ διαυγοῦς ὄψεως· ἔχει δὲ καὶ φυσικὰς ἐνεργείας τοιαύτας· εἴ τις αὐτὸν ἐπάνω θείη κατὰ ξηρῶν δᾴδων ἢ καὶ ἄλλης τινὸς ὕλης εὐπρήστου καὶ ταχέως ἀντιλαμβανομένης πυρός, ὁ δὲ ἥλιος ἐξ ἐναντίας αὐτὸν ταῖς ἀκτῖσι περιαστράψαι, πρῶτον μὲν ὀλίγην τινὰ καὶ οὗτος ἀκτῖνα πρὸς τὴν παρακειμένην ὕλην ἐκπέμπει· ἔπειτα καὶ καπνὸν ἐγείρει, μετὰ δὲ τοῦτο καὶ φλόγα πολλήν. Καὶ τοῦτο τὸ ἱερὸν πῦρ ὠνόμαζον καὶ οἱ παλαιοὶ τῶν Ἑλλήνων. Τὸ δὲ θαυμαστότερον, ὅτι καὶ αὐτὸν τὸν τῆς φλογὸς αἴτιον λίθον ἁρπάζων τις ἐκ τῆς ἀναφθείσης ὕλης καὶ ταῖς χερσὶ κρατῶν ψυχρὸν εὑρίσκει καθὼς τὸ πρότερον. Φασὶ δὲ ὅτι καὶ τοῖς νεφροῖς περιδεθεὶς τὸν νοσοῦντα τούτους ἰᾶται.

P. 139. 2] Λίθος γαλακτίτης, ὃν καί τινες τῶν παλαιῶν οἱ μὲν ἀνακτίτην, οἱ δέ λήθαιον ἀπεκάλεσαν· ἀλλὰ γαλακτίτην μέν, ὅτι τριβομένου ἰχὼρ ἀπορρέει καθάπερ γάλακτος· ἀνακτίτην δὲ καὶ λήθαιον, ὅτι φορῶν τις αὐτὸν καὶ προσιὼν τοῖς οἰκείοις δεσπόταις καὶ ὁμιλῶν εὐμενεῖς αὐτοὺς εὑρίσκει καὶ λήθην λαμβάνοντας τῶν αὐτοῦ πολλάκις κακῶν· ὃν καὶ οἱ Ἕλληνες προσιόντες τοῖς ἱεροῖς τῶν θεῶν αὐτῶν ἐφόρουν ὡς δι' αὐτοῦ τὸ θεῖον ἐξιλεούμενοι. Ἔχει δὲ καὶ ἑτέραν τινὰ ἐνέργειαν· αἰγῶν γὰρ

1. Sur la constitution de ces textes, voir, dans la Préface, l'article relatif aux lapidaires orphiques.
6. Les mots illisibles dans le ms. B ont été suppléés et les lacunes comblées en partie à l'aide du Vaticanus 578 (V), base de l'édition Abel. Nous avons adopté le texte de cette édition excepté lorsque la leçon de B nous parait équivalente ou préférable à celle de ce texte.
18. ἀπεκάλεσαν] προσηγόρευσαν Abel. — τριβόμενος ἰχῶρας B. Correction d'Ab.

ἢ προβάτων πολλάκις ἀποσβεννυμένων καὶ λειπομένων τοῦ γάλακτος, εἴ τις αὐτὸν τρίψας τε καὶ λειάνας καὶ μετὰ ἅλμης μίξας ἐπιρράνῃ τὸ ποίμνιον ἐπιμελῶς, εὔροιαν αὐτοῖς προξενήσει τοῦ γάλακτος, ὥστε τὰς μητέρας σκιρτώσας μεθ' ἡδονῆς παρέχειν τοῖς ἑαυτῶν γεννήμασι τοὺς μαστούς. Λέγουσι δὲ ὅτι καὶ γυναιξὶ τὸ αὐτὸ δύναται ποιεῖν πρὸς γαλακτοτροφίαν τριβόμενος καὶ πινόμενος. Ἀλλὰ καὶ περὶ αὐχένιον τοῖς νηπίοις καταδεσμούμενος ἀπείργει, φασί, πάντα φθόνον, καὶ ἄνοσον καὶ ἀνεπιβούλευτον διαφυλάττει τὸ νήπιον, καὶ ὅτι τὸν τοῦτον φοροῦντα καὶ βασιλεῖς αἰδοῦνται καὶ δῆμοι καὶ δικασταὶ καὶ ἄρχοντες, καὶ ἁπλῶς ἡδὺς τοῖς πᾶσι δοκεῖ, κἂν ἀλλότριοι καὶ ἐθνικοὶ τυγχάνωσιν. Ἔστι δὲ τὴν χροιὰν ἔντεφρος, ἤτοι στακτίζων, ἁρμόζει δὲ καὶ πρὸς ὀφθαλμῶν ἕλκη καὶ ῥεύματα τριβόμενος καὶ μετὰ ὕδατος ἀλειφόμενος.

P. 140. 3] Λίθος εὐπέταλος ὁ καὶ δενδραχάτης· ὠνόμασται δὲ οὕτως ὅτι καθάπερ πέταλα δένδρων ἐν αὐτῷ διαφαίνονται μετὰ κλάδων συνεχεστέρων. Οὗτος δὲ τοῖς κέρασι τῶν βοῶν περιδεσμούμενος ἐν τῷ καιρῷ τοῦ σπόρου ἢ καὶ ἐν τῷ ὤμῳ τοῦ σπορέως ἢ τοῦ ἀρότρου εὐφορίαν παρέχει.

P. 141. 4] Λίθος ἐλαφοκερατίτης. Ὠνόμασται δὲ καὶ οὗτος ἀπὸ τῆς θέας· ἐλάφου γὰρ ἔοικε κέρατι καὶ οὐκ ἂν εὐκόλως τις διαγνοίη ὁρῶν πότερον ἢ κέρας ἐστὶν ἢ λίθος πρὸ τοῦ καὶ τῇ χειρὶ κρατῆσαι τοῦτον καὶ ἐκ τῆς ἀντιτυπίας τε καὶ σκληρότητος κατὰ ἀλήθειαν ἐπιγνῶναι. Θαυμαστὴν δὲ τούτου φασὶ τὴν ἐνέργειαν· εἰ γάρ τις αὐτόν, φασί, κατατρίψας καὶ μίξας ἐλαίῳ φαλάκρας ἐπιχρίσειε, συνεχέστερον ἀναβλαστήσουσι τρίχες νέαι, καὶ κομήτης ὁ ἄνθρωπος ἀπὸ φαλακροῦ γενήσεται· ἀλλ' ὅτι καὶ τοῖς νεονύμφοις ἔρωτα πρὸς ἀλλήλους ἐμποιεῖ καὶ ὁμοφροσύνην φορούμενος, καὶ διαφυλάττει τὸν πόθον αὐτοῖς μέχρι γήρως.

P. 141. 5] Λίθος ἴασπις, ὁ καὶ πᾶσι πρόδηλος· χρήσιμος δὲ καὶ οὗτος, ὥς φασι, ταῖς ἀρούραις πρὸς εὐφορίαν. Ἀλλὰ καὶ ὑετόν, ὡς λέγουσιν Ἕλληνες, ἐξ ἀνομβρίας κατάγειν ἐπὶ τὰς αὐτὰς καὶ ἐπιληψίας ὠφελεῖν, καθὼς καὶ οἱ πολλοὶ μαρτυροῦσι.

P. 141. 6] Λίθος λύχνις, ὁ καὶ λυχνίτης λεγόμενος. Τοῦτον δὲ πολυωφελέστατον εἶναι λέγουσι· καὶ γὰρ ἀποκωλύειν χαλάζας καὶ πᾶσαν φθορὰν ὅσαι γίνονται κατ' ἀγρούς·

1. « Num ἀποσβεννυμένου καὶ λειπομένου? » Ab.
5. περιαυχένιος Ab.
6. ἀπείργει B. « ἀπείργειν codd., quod correxi. » Ab.
8. ἀλλότριοι καὶ om. B.
9. ἤτοι στακτίζων] Glose byzantine insérée dans le texte. Le mot byzantin στάκτη est synonyme de τέφρα. (Tyrwhitt.)
11. οὗτος] οὕτως Ab.
14. ἢ τοῦ ἀρότρου om. Ab.
15. καὶ om. B.
20. γενήσεται] φανήσεται B.
22. τοὺς πόθους Ab.
24. Verba ὡς λέγ. Ἑλλ. om. Ab.
25. κατάγειν ἐ. τ. α. δύναται κ. ἀποτρέπειν ἐπιλ. Ab. — πολλοὶ] λοιποὶ Ab.
26. Réd. de l'art. ἴασπις dans le Vindob. med. gr. 30 (C) d'après Abel (p. 141) : Λίθος ἴασπις ὁ καὶ πᾶσι δῆλος· ἐναντίας δυνάμεις ἔχειν φασί. Παφλάζοντος τοῦ ὕδατος ἐν λέβητι ὑπορριπτούμενον αὐτὸ ὑποχλιαίνειν αὐτό. Τοὐναντίον δὲ ψυχροῦ τυγχάνοντος ταχύτερον τοῦτον παρασκευάζειν τε καὶ ἀναπαφλάζειν.
28. ἀποκωλύει Ab. — Lire πάσας φθοράς.

ἀλλὰ καὶ, ὥσπερ ὁ κρύσταλλος, καὶ αὐτὸν ἄνευ πυρὸς φλόγα πέμπειν · ἔχειν δὲ καὶ ἐναντίας δυνάμεις · παφλάζοντος μὲν γὰρ τοῦ λέβητος ἐπιρριπτούμενον αὐτῷ ὑποχλιαίνειν αὐτόν · τοὐναντίον δὲ ψυχροῦ τυγχάνοντος ταχύτερον τοῦτον παρασκευάζειν, ζέειν τε καὶ ἀναπαφλάζειν.

P. 142. 7] Λίθος τόπαζος ἤτοι τοπάζιον. Ὠφελιμώτατον τοῦτον εἶναί φασιν ὥστε πᾶσαν ὀφθαλμίαν ἰᾶσθαι. Ὅμοιος δέ ἐστι τῷ κρυστάλλῳ, ἔξαυγος καθὰ καὶ ὁ κρύσταλλος. Ὁ μέντοι τοπάζιός ἐστι χλωρός, οὐ λίαν ἐοικὼς σεύτλου χροιᾷ, στιβαρός, πυκνός, διαυγής. Οὗτός ἐστιν ὁ ἄρσην · ὁ δὲ θηλυκὸς ἐλαφρότερος τάς τε ἀκτῖνας πρὸς τὰς αὐγὰς τοῦ ἡλίου ἡδυτέρας βάλλει παρὰ τὸν ἄρσενα. Ἐπὶ πάντων δὲ καθόλου εἷς ὁ σκοπὸς πρόκειται τῶν τε ἀρσενικῶν καὶ τῶν θηλυκῶν λίθων. Δέον οὖν τοῖς μὲν ἄρσεσι τὸν ἀρσενικὸν διδόναι, ταῖς δὲ θηλείαις τοὺς θηλυκούς. Λαβὼν οὖν τὸν προκείμενον λίθον ἐπιχάρασσε αὐτῷ τὸν τοῦ σταύρου χαρακτῆρα. Οὗτος τελεσθεὶς καὶ φορούμενος πολλὴν ἀγάπην περιποιεῖται τοῖς ἔχουσι καὶ πολλῶν ἀγαθῶν δοτὴρ γίνεται. Ἔτι δὲ καὶ κατὰ θάλασσαν ἀκίνδυνον τὸν φοροῦντα διατηρεῖ, καὶ κέρδη μεγάλα διὰ τὰς ἐμπορίας περιποιεῖται. Ἀλλὰ καὶ ἐν ὀφθαλμοῖς νοσοῦσιν, ὥστε πᾶσαν ὀφθαλμίαν ἰᾶσθαι. Οὐδὲν δὲ ἕτερον ἀξιόλογον ἱστορεῖται περὶ αὐτοῦ. Καὶ πρὸς τὰς ὑδρομαντείας ἄκρως ποιεῖται. Ἐὰν δέ τις σταφυλῆς θαλασσίας οἶνον πίῃ καὶ εἰς μανίαν περιτραπῇ, τρίψας τὸν λίθον ἐπὶ ἀκόνης μεθ' ὕδατος δίδου τῷ μαινομένῳ · περίαψον δὲ αὐτῷ καὶ τὸν λίθον ἐπὶ τὸν τράχηλον, καὶ ἰαθήσεται. Ἐπίχαριν δὲ τὸν φοροῦντα τοῖς ὁμιλοῦσι ποιεῖ, καὶ ῥητορικώτερον ἐν τοῖς λόγοις.

P. 143. 8] Λίθος χρυσόθριξ, ὁ καὶ τοῦ ἡλίου καλούμενος. Διπλοῦς οὗτος τὸ εἶδος · ὁ μὲν ἐοικὼς κρυστάλλῳ, πλὴν ὅσον καθάπερ ἀκτῖνές τινες αἱ τρίχες αὐτῷ ἐμπεφύκασιν · ὁ δὲ τῷ χρυσολίθῳ κατὰ πᾶν ὅμοιος, πλὴν ὅσον καὶ αὐτῷ καθάπερ ἀκτῖνες αἱ τρίχες περιαυγάζονται. Διὸ καὶ οἱ μὲν ἀπὸ τῶν τριχῶν αὐτοὺς χρυσότριχας ὠνόμασαν, οἱ δὲ ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων ἡλίου λίθους. Φορούμενοι δὲ οὗτοι, φασίν, εὐπρεπεστέρους καὶ σεμνοτέρους τοὺς ἀνθρώπους ποιοῦσι καὶ παρὰ πᾶσιν αἰδοῦς ἀξίους.

P. 143. 9] Λίθος μάγνης, ἡ καὶ μαγνῆτις λεγομένη, ἥστινος τὴν φύσιν καὶ τὴν ἐνέρ-

5. Λίθος τόπαζος] Cp. Damigéron, art. 29. — Réd. du ms. V : Λίθος τοπάζιος ὁ καὶ τοπάζιον καλούμενος. Οὗτος τίμιός ἐστι καὶ πολύτιμος διὰ τὸ σπανίως εὑρίσκεσθαι. Γεννᾶται δὲ ἐν τῇ Ἰνδικῇ. Ὅμοιος κ. τ. λ.

7. χροιᾷ] χρῆσιν B.

8. θῆλυς B.

12. ἐπιχάρασσε ∾ χαρακτῆρα] Réd. du ms. V : ἐπιχάρασσε αὐτῷ Ποσειδῶνα ἐν ἅρματι ἱππικῷ ἑστῶτα καὶ τῇ μὲν εὐωνύμῳ τὰς ἡνίας κρατοῦντα τοῦ ἅρματος, τῇ δεξιᾷ δὲ ἀστάχυας. Ἔστω δὲ ἐπ' αὐτῷ καὶ ἡ Ἀμφιτρίτη. « B eorum loco ἐπιχ. ∾ χαρ. habet e manifesta interpolatione. » Abel.

13. οὕτως B, f. mel.

14. ἐκ Θεοῦ δοτὴρ B (par interpolation ?).

15. Verba ἀλλὰ καὶ ∾ περὶ αὐτοῦ om. A.

17. Verba καὶ πρὸς τὰς ὑδρ. ∾ ποιεῖται om. B.

25. περιαυγίζονται V. « Fortasse περιαυγάζονται scripsit. » Abel.

29. ὁ καὶ μαγνήτης καλούμενος B ; ἡ καὶ μ. λεγ. Ab.

γειαν καθ' ἑκάστην ὁρᾶν ἐστιν ἕλκουσαν διὰ τοῦ ἀέρος τὸν σίδηρον πρὸς ἑαυτήν, ὥσπερ ἐρῶσαν αὐτοῦ καὶ τοῦτον πρὸς ἑαυτὴν ἁρπάζουσαν. Ταύτην φασὶ διακριτικὴν ἔχειν δύναμιν τῆς τε καθαρευσούσης γυναικὸς ἀπ' ἀλλοτρίου ἀνδρὸς καὶ τῆς μοιχευομένης. Εἰ γάρ τις αὐτὴν λαθραίως ὑπὸ τὰ στρώματα θείη, ἡ μὲν καθαρά τε καὶ φίλανδρος εἰς ὕπνον κατενεχθεῖσα φυσικῇ τινι δυνάμει τῆς λίθου τάς τε χεῖρας ἁπλοῖ πρὸς τὸν ἄνδρα καὶ περιφύεται · ἡ δὲ πόθοις ῥυπαροῖς καὶ ἀλλοτρίοις κατεχομένη ἀφυπνώσασα τῆς κλίνης ἀπαράσσεται καὶ καταπίπτει. Ἀλλὰ καὶ δύο ταύτην ἀδελφῶν φορούντων πάσης ἔριδος αὐτοὺς ἀπαλλάττει καὶ φιλονεικίας, καὶ ὁμόνοιαν ἐμποιεῖ. Καὶ πρὸς τὸ θέλξαι δὲ καὶ πεῖσαι λαὸν ἐπιτηδειοτάτη βασταζομένη ἢ καὶ φορουμένη κατὰ τοῦ στήθους · καὶ ἄλλας πλείστας ἔχει δυνάμεις. (F. 476 r.) Ἔστι δὲ καὶ πρὸς ἀγωγὴν γυναικῶν χρήσιμος καὶ πρὸς συστάσεις λαμπρῶν ἀνδρῶν, πρὸς δὲ τὰς ἐμπορίας πάσας κερδέμπορος. Ἐὰν γυνὴ αὐτὴν φορῇ ἐρασθήσεται αὐτῆς ὃν ἂν βουληθῇ. Ἐπιχάρασσε δὲ τῷ λίθῳ Ἀφροδίτην ἕλκουσαν ἄνδρα ἀπὸ κρασπέδου τῇ εὐωνύμῳ χειρί, τῇ δὲ δεξιᾷ δεικνύουσαν μῆλον. Οὗτος ὁ λίθος ὁμόνοιαν πολλὴν ποιεῖ ἄνδρασι καὶ γυναιξὶ καὶ ἀδελφοῖς καὶ φίλοις, ἔτι δὲ καὶ πρὸς πάντας ἐπιχαρίτους, εὐπειθεῖς παρασκευάζει τοὺς φοροῦντας αὐτὸν καὶ εὐομίλους ποιεῖ · ῥήτορσι δὲ ἄκρως ἐνεργεῖ καὶ τοῖς δημηγοροῦσι καὶ τοῖς διὰ λόγων ἀγωνισταῖς · πειθὼ γὰρ ποιεῖ καὶ εὐπρέπειαν, καὶ λόγων εὑρετικός ἐστι · νίκην δὲ καὶ δύναμιν πᾶσι δίδωσιν · ἀλλὰ καὶ τὰ ὑπὸ τῶν μάγων γινόμενα εὐθετεῖ καλῶς.

P. 145. 10] Λίθος ὁ σιδηρίτης, ὃν καὶ ἔμ<ψυχον καὶ ὀρεί>την τινὲς καλοῦσιν · ὠνόμασται δὲ καὶ οὗτος ἀπὸ τῆς φύσεως, ἀλλὰ καὶ τῆς κατὰ τὸν τόπον εὑρέσεως. Εὑρίσκεται μὲν γὰρ ἐν τοῖς ὄρεσιν · ἔστι δὲ τὴν μὲν θέαν στρογγύλος ἢ καὶ ὡς ὑποστρόγγυλος, τὴν δὲ φύσιν τραχύς, στιβαρός, μελ<ανόχροος καὶ> πυκνός. Πάντοθεν δὲ αὐτὸν περιέχουσιν ἶνες ὅμοιαι ῥυτῖσιν ἢ καὶ γραμμαῖς. Τοῦτον πρὸς ἀποτροπὴν πάντων τῶν ἑρπετῶν φασι χρησιμώτατον εἶναι, καὶ οἵ γε τὴν Λιβύην τὴν ἄνυδρον καὶ ἰοβόλων γέμουσαν διερχόμενοι τοῦτον φοροῦντες καὶ ὥσπερ καθοπλιζόμενοι διὰ μέσου τῶν ἰοβόλων πορεύεσθαι κατετόλμων. Φασὶ δὲ καὶ μαντικὸν εἶναι καί τινα νηστεύοντα καὶ καθαίροντα ἑαυτόν, καὶ τοῦτον δὲ αὐτὸν τὸν λίθον καθαροῖς ὕδασιν ἀπονίπτοντα, ἀλλὰ καὶ λευκοῖς λίνοις περιελίττοντα, εἶτα καὶ λύχνους ἀνάπτοντα ἐξαίφνης ἀκούειν ὥσπερ νεογενοῦς τινος βρέφους φωνὴν καὶ

1. « ἕλκουσα codd. » Ab. (ἕλκουσαν est dans B.) — Réd. de R : Ὁ λίθος ὁ μάγνης ἔχει τι, ἐπισπαστικὸν γὰρ πρὸς ἑαυτὸν τὸν σίδηρον καὶ πάλιν ἀποτίθεται (f. l. ἀπωθεῖται). R continue avec les mots Ἐὰν γυνὴ... (l. 12).
10. Verba καὶ ἄλλας ∿ δυνάμεις om. B. — Ἔστι] ἔτι B, R.
12. ὃν] ὃς R.
13. Verba Ἐπιχάρασσε ∿ μῆλον om. B.
14. πολλὴν om. B.
15. ποιεῖται Ab. — ἐπιχαρὴς καὶ εὐτυχὴς R.
16. κατασκευάζει R, f. mel.
19. μάγων] Signes ΟΙΟΥ dans R.
20. ἐμ   την B. Supplevit Tyrwhitt.
21. δὲ om. B.
22. θέαν] θέσιν B.
23. μελ   πυκνός B. Supplevit Tyrw.
27. διὰ μέσον B ; διὰ μέσων V. Correxi. Cp. plus bas, p. 164, l. 7.
29. ἀπονίπτων et περιελίττων B. Correxit Tyrw.

πυνθανομένου τινος ἀποκρίνεσθαι, ἔπειτα πρὸς τὸ τέλος καθάπερ ἔμψυχον ἀποπνέειν. Ἀλλὰ ταῦτα μὲν Ἑλλήνων παῖδες οἱ τοῖς κτίσμασι λατρεύειν ἐθέλοντες καὶ δαιμονίων φωνῶν ἀκούειν σπουδάζοντες. Ἡμεῖς δὲ τοῦ μὴ καὶ ταῦτά τινας ἀγνοεῖν ἕνεκα παραθέντες ἐνταῦθα καὶ ταῦτα πρὸς τὰ λοιπὰ βαδιούμεθα. Ὅσα γάρ φασι τὰς ῥίζας τῶν βοτανῶν δύνασθαι, τοσαῦτα καὶ τὰς τῶν λίθων φύσεις. Τοσαύτην δέ φασι δύναμιν τοῦτον τὸν σιδηρίτην ἔχειν, ὥστε κἂν πάντα τὰ ἑρπετὰ παμπληθεὶ κατά τινος ἐφορμῶσι, διὰ μέσου τούτων ἀβλαβῆ τὸν φοροῦντα τὸν λίθον τοῦτον πορεύεσθαι · οὐκ ἀβλαβῆ δὲ μόνον, ἀλλὰ καὶ φυγαδευτήν · εὐθὺς γὰρ αὐτὰ πάντα πρὸς φυγὴν ὁρμᾶσθαι, μὴ φέροντα τὴν φυσικὴν αὐτοῦ πνοήν τε καὶ δύναμιν. Πολλάκις δέ τις καὶ ἐν κυνηγησίοις σχολάζων καὶ ἐν ἐρήμοις ἢ ὄρεσι καθεύδειν ἀναγκαζόμενος μέσον τῶν θανασίμων ὄφεων καὶ σκορπίων οὐδὲν ἐξ αὐτῶν πείσεται τοῦτον ἐπιφερόμενος. Καὶ ὀφιοδήκτοις δὲ πᾶσιν ἐπιπασσόμενος, ἀλλὰ καὶ τραύμασι παντοίοις, εἴτε ἀπὸ ξιφῶν εἴτε καὶ ἀπὸ ἑτέρων τινῶν αἰτιῶν, ἀλεξιφάρμακον γίνεται · καὶ στείραις δὲ γυναιξὶ περιδεσμούμενος εὐτοκίαν φασὶ παρέχειν.

Les articles γαγάτης, σκορπίος, κορσίτης sont omis dans le ms. B. Ils figurent dans le ms. V (voir plus loin) sous les n°s 17, 18, 19.

P. 145. 11] Λίθος ὀφίτης. Οὗτος ἀπὸ τοῦ ἀντιφάρμακον εἶναι τῶν ὄφεων ὑπὸ τῶν παλαιῶν ὠνόμασται · καὶ ὀφθαλμοῖς δὲ ἀμβλυωποῦσιν ὀξυωπίαν παρέχει καὶ κεφαλαλγίαν παύει καὶ βαρυηκοΐαν καθαίρει οὕτως ὥστε καὶ λεπτῆς ὁμιλίας τὸν φοροῦντα τοῦτον λοιπὸν ἀκούειν δύνασθαι. Φασὶ δὲ καὶ τὸν ἀκίνητον πρὸς ἀφροδίσια καὶ ἠλίθιον ὑπὸ τούτου πρὸς κίνησιν καὶ ἐπιθυμίαν ἕλκεσθαι · καὶ θυμιώμενον δὲ ἑρπετὰ πάντα διώκειν, οὐ τὰ πλησίον μόνον, ἀλλὰ καὶ τὰ πόρρωθεν ἐκ τῶν φωλεῶν αὐτῶν.

P. 148. 12] Λίθος κοράλιος. Καὶ τοῦτόν φασι πρὸς ἀσπίδας μάλιστα καὶ πρὸς ἀσπίδων δήγματα χρησιμώτατον καὶ ἀποτρόπαιον εἶναι. Θαυμάσιον δὲ οἷον ἱστοροῦσι περὶ αὐτοῦ · ἐκ γὰρ ἑτέρου εἴδους πρὸς ἕτερον μεταφέρεσθαι · χλωρὴν μὲν γὰρ πρῶτον βοτάνην φύεσθαι καὶ οὐδὲ ἐν τῇ χέρσῳ, ἀλλ' ἐν τῇ θαλάσσῃ, καθὰ καὶ τὰ βρύα · πρὸς δὲ τὸ γῆρας ἥκουσαν καὶ μαραινομένην τὰ μὲν φύλλα περιμαραίνεσθαι τε καὶ καταρρεῖν · αὐτὴν δὲ ἐν τοῖς βάθεσι νήχεσθαι ἐλαφρήν, μέχρις ἂν πρὸς τὴν χέρσον ὑπὸ τῶν κυμάτων ἀποπτυσθῇ · ἐπὰν δὲ καὶ τοῦ καθ' ἡμᾶς ἀέρος ἀναπλησθῇ, ξηραίνεσθαι καὶ στερεοῦσθαι μᾶλλον · ἐγχρονίζουσαν δὲ πλέον ἀποπετροῦσθαι καὶ ταῖς χερσὶ τριβομένην τελείως λίθον εὑρίσκεσθαι, τὸ δὲ σχῆμα φυλάττειν τὸ ἐξ ἀρχῆς,

1. ἀποκρίνεται B.
3. Verba Ἡμεῖς ∾ βαδιούμεθα om. B.
4. φησι B.
5. τὰς om. B.
17. L'art. ὀφίτης est précédé, dans le ms. V, de l'art. ὀφιῆτις. — Λίθος ὀφίτης ἕτερος Ab.
19. βαρυηκοΐαν] μυρμηκίαν B, « ex mera interpolatione ». Abel.
21. ἕλκεσθαι. Abel ex Ambros. (C); ἔρχεσθαι B, V.
26. γὰρ om. B.
27. φύεσθαι] φαίνεσθαι B.
28. τε om. B.

οἷον ὅτε ἦν βοτάνη, τῶν τε κλάδων καὶ τοῦ φλοιοῦ, καὶ εἶναι καθαπερεὶ θάμνον ἢ καὶ δενδρύφιον λίθινον ἀκριβῶς, ὥστε καὶ τέρψιν ἔχειν τοῖς θεωμένοις οὐκ ἄχαριν. Λέγουσι δὲ αὐτῷ καὶ ἑτέρας τινὰς ἐνεῖναι θείας δυνάμεις · ἔκ τε γὰρ πολεμίων καὶ μάχης ἀβλαβῆ τὸν φοροῦντα διαφυλάττεσθαι, καὶ μακρὰν δέ τινα καὶ ἔρημον στελλομένῳ πορείαν, καὶ φυλακτήριον εἶναι καὶ παντὸς κακοῦ ἀποτρόπαιον, καὶ κινδύνους δὲ διαδιδράσκειν λῃστῶν, ἀλλὰ καὶ τοῖς πλεοῦσι σωτήριον εἶναι, καὶ παντὸς κινδύνου καὶ ναυαγίου ῥύεσθαι, καὶ φαρμάκων δὲ θανασίμων καὶ μαγειῶν πασῶν ἀντίπαλον πεφυκέναι καὶ μιασμάτων πάντων καὶ καταδέσμων καθαρτήριον καὶ ὥσπερ ἀντίλυτρον. Κοπτόμενος δὲ καὶ τῷ σίτῳ καὶ πᾶσι τοῖς σπειρομένοις μιγνύμενος πᾶσαν βλάβην ἀπὸ τῆς ἀρούρης ἀπείργει. Λέγουσι δὲ καὶ αὐχμοῦ καὶ χαλάζης καὶ πάντων τῶν τοιούτων ἀποτρεπτικὴν ἔχειν δύναμιν, ἀλλὰ καὶ τῶν καταβιβρωσκόντων πάντων καὶ λυμαινομένων τοῖς ληΐοις ἀναλωτικὸν καὶ φθαρτικὸν γίνεσθαι, σκωλήκων τε καὶ ἰπῶν καὶ τῶν ἄλλων ἀερίων, ἐρυσίβης καὶ ἀκρίδος καὶ βρούχου, ἀλλὰ καὶ αὐτῶν τῶν πρηστήρων καὶ κεραυνῶν, πινόμενον δὲ μετ' οἴνου ἀκράτου μάλιστα προφυλακτικὸν παντοίων φαρμάκων γίνεσθαι. Καὶ σπλῆνα μὲν τήκει σὺν ὕδατι πινόμενον καὶ πρὸς ἀναγωγὰς αἵματος ἐνεργεῖ. Ἀναπληροῖ δὲ καὶ σαρκῶν κοιλώματα.

P. 150. 13] Λίθος ἀχάτης. Οὗτος παντοῖος μὲν τὴν μορφήν · πολυχρώματος γὰρ καὶ πῆ μὲν ἰάσπιδι προσεοικώς, πῆ δὲ τῷ σαρδίῳ, πῆ δὲ τῷ σμαράγδῳ, καὶ τοῦ μὲν ἰάσπιδος τὸ ὑελῶδες ἔχει, τοῦ δὲ σαρδίου τὸ αἱματῶδες, τοῦ δὲ σμαράγδου τὸ αἰγλῆέν τε καὶ λαμπρόν. Ἄλλοτε δὲ καὶ τὸ φοινικοῦν καὶ ἐρυθρὸν ἐν αὐτῷ καὶ οἷον

2. « δενδρύδιον B. » Ab. Le ms. B porte bien δενδρύφιον.

6. L'édition Abel, établie d'après le Vaticanus 578 (V), présente ici (entre λῃστῶν et ἀλλὰ καὶ) l'interpolation suivante, évidemment empruntée au texte grec de Damigéron, comme Eug. Abel l'a d'ailleurs fait remarquer : Ἐὰν δὲ ἐν τοῖς πολέμοις καὶ ταῖς μάχαις ἐπὶ χεῖρας τοῦτον κρατῇς, ἔσται φυλακτήριον ἀνίκητον καὶ ἐπιτευκτικὸν καὶ καταπληκτικὸν ἄφοβον. Ἐκλήθη δὲ οὗτος καὶ ὑπό τινων γοργόνιος, διὸ (l. διότι) εἰς αὐτὸν εἰσχαράσσουσι Γοργόνα καὶ κατακλείουσιν ἐν χρύσῳ ἢ ἀργύρῳ. Καὶ τελεσθείς ἐστι μέγιστον φυλακτήριον πρὸς πάντα φόβον καὶ ἐπήρειαν πονηρῶν ἀνθρώπων καὶ μάλιστα ἐν ταῖς ὁδοιπορίαις πρὸς ἐφόδους πονηρῶν καὶ πρὸς ἑρπετὰ παντοῖα · ἔστι γὰρ ὁ λίθος Ἑρμοῦ. Ποιεῖ δὲ καὶ ἐπὶ τῶν ὀνείρων καὶ φαντάσματα ἀπωθεῖται τῇ ἰδίᾳ ἀντιπαθείᾳ · μέγιστον δὲ φυλακτήριον καὶ πρὸς ὀργὴν δεσπότου γλυφέντος ἐν αὐτῷ ζῳδίου Ἑκάτης ἢ Γοργόνος προτομῆς. Ὁ φορῶν δὲ αὐτὸν οὐδέποτε ὑπὸ φαρμάκων ἁλώσεται, οὔτε ὑπὸ κεραυνοῦ ἢ ἀστέρος πληγήσεται ἢ πονηροῦ δαίμονος. Ἄλυπον δὲ ποιεῖ τὸν φοροῦντα αὐτόν, ἀλλὰ καὶ μιασμάτων πάντων καὶ καταδέσμων καθαρτήριον ὑπάρχει. Ἐν οἴκῳ τε ὢν ὁ λίθος δαιμόνων καὶ φαντασμάτων καὶ κεραυνῶν ποιεῖται δίωξιν. (Cp. le vieil interprète latin de Damigéron, chap. 7.) — Après σωτήριον εἶναι] Nouvelle interpolation du ms. V : Ἐὰν δὲ ἐν πλοίῳ αὐτὸν σχίσας εἰς τὸ καλούμενον χαλκήσιον (lire καρχήσιον) ἐμβάλῃς σὺν δέρματι φώκης, φυλακτήριον ἔσται ἄριστον. Cp., plus loin, le *Lapidaire nautique*, art. 4.

7. Après ῥύεσθαι]. Autre interpolation du ms. V (*Lapidaire nautique*, même art.) : ἀντιπάσχει γὰρ ἀνέμοις καὶ κλύδωσι καὶ ἀκαταστασίαις παντοίαις.

9. ἀντίλυτον Ab. ; om. V.

14. Entre κεραυνῶν et πινόμενον] Interpolation du ms. V : καὶ ἐν ἀμπέλοις δὲ καὶ ἐλαιῶσι τὸ αὐτὸ ποιεῖ σπαρείς.

15. τήκει] « τήλει B. » Abel. B porte bien τήκει.

16. σαρκῶν] « σαρκεῖν B. » Abel. B porte bien σαρκῶν.

μιλτῶδες, ἀλλὰ καὶ χαλκῷ τὸ χρῶμα πολλάκις ἔοικεν, ἔστι δὲ ὅτε καὶ μήλῳ · πάντων δὲ προκρίνουσι μάλιστα τὸν εἶδος ἔχοντα λίαν ἐρυθρὸν καὶ αἱματῶδες, ὃν καὶ δαφοινὸν καλοῦσι · τοῦτον δὲ αὐτὸν καὶ κατάστικτον εἶναί φασιν, ὥσπερ τὸν λέοντα φολίσι πυρσαῖς, ἢ καὶ ποικίλας ἀναμεμιγμένας ἐχούσαις καὶ λευκὰς καὶ μελαίνας, καὶ χλωράς · τοῦτον τοῖς σκορπιοδήκτοις ὠφελεῖν, εἰ περιαρτήσῃ τοῦτον τῷ δήγματι. Ἔτι δὲ καὶ ἐρωτικός, ὥς φασι, καὶ τίθησιν ἐπιθυμητοὺς ἄνδρας τε καὶ γυναιξὶ καὶ γυναῖκας ἀνδράσι περιαπτόμενος, καὶ θέλγειν δὲ πάντας ἱκανώτατος ἐν ταῖς ὁμιλίαις, καὶ τῶν αἰτήσεων μὴ ἀποτυγχάνειν ποιεῖ, καὶ πρὸς πᾶσαν νόσον ἁπλῶς εὑρίσκεται χρησιμώτατος, ὁμοίως δὲ καὶ πρὸς τριταίους καὶ τεταρταίους καὶ πᾶν τοιοῦτον γένος νοσημάτων. Σημεῖον δὲ τῆς τούτου δυνάμεως κἀκεῖνο ποιοῦνται · ἑψομένοις γὰρ κέρασιν ἢ καὶ ὀστέοις ἐμβαλών τις αὐτὸν ἐπ' ὀλίγον, εἶτα καὶ ἀνασχόμενος εὑρήσει πάντα ῥᾳδίως τηκόμενα.

ARTICLES COMPLÉMENTAIRES

Les §§ suivants du ms. B sont simplement mentionnés en partie par Abel (p. 153) d'après leurs titres. Aucun d'eux, le § 19 excepté, ne correspond au poème des *Lithica*.

14] (F. 476 v.) Λίθος σμάραγδος ὁ κάλλιστος καὶ πολύτιμος δύναμιν ἔχει πρὸς [πᾶσαν χάριν καὶ ἐπιτυχίαν ἐν πάσῃ πράξει. Τοὺς γὰρ ἁγνῶς φοροῦντας αὐξάνει βίῳ τε καὶ λόγῳ καὶ πράξει καὶ πράγματι. Ποιεῖ δὲ καὶ πρὸς ὑδρομαντείαν, καὶ δούλοις πρὸς ἐλευθερίαν συμβάλλεται · ὃς γὰρ αὐτὸν κατασκευάσει καὶ τελέσει πάντων ἐπιτεύξεται. Δεῖ δὲ αὐτὸν κατασκευάσαι οὕτως. Κτησάμενος τὸν λίθον, κέλευε ἀδάμαντι γλυφῆναι κάνθαρον · εἶτα εἰς τὴν κοιλίαν αὐτοῦ ἑστῶσαν Ἶσιν. Ἔπειτα τρύπησον εἰς μῆκος καὶ ἐμβαλὼν χρυσῆν βελόνην, φόρει περὶ τὸν δάκτυλον. Οὗτος ὁ λίθος γεννᾶται ἐν Ἰνδίᾳ, ὅπου ὁ Φισὼν ποταμὸς ἐκ τοῦ Παρα-

3. Après καλοῦσι] Addition de V : ἀφ' οὗ καὶ λεοντοδέρην τινὲς αὐτὸν καλοῦσι τῶν παλαιῶν.
5. ἢ περιαρτύσοι B. — Réd. de V, après σκορπιοδήκτοις : ὠφελιμώτατον εἶναι · εἰ γάρ τις καὶ ψυχορραγῶν τύχῃ παρὰ τοῦ τραύματος καὶ περιαρτήσῃ τοῦτον περὶ αὐτῷ ἢ καὶ ἐπιπλάσσῃ μάλιστα συγκόψας, αὐτίκα κατὰ βραχὺ τὰς ἀλγηδόνας ἀπομαραίνει καὶ σώζει τὸν κάμνοντα.
8. ποιεῖν B, V.
9. ὁμοίως] ἐξαιρήτως V, f. mel.
10. τοιοῦτον] τοιόνδε V. — Les mots σημεῖον δὲ ∾ τηκόμενα sont omis dans le ms. B, qui, après νοσημάτων contient la fin de l'article αἱματίτης (n° 22 dans le ms. V), depuis les mots καὶ μετὰ ὕδατος (ci-après, p. 171, l. 23).
17. Λίθος σμάραγδος]. Article publié par Abel (Damigeron, chap. vi, p. 168, note), d'après l'Ambrosianus 95 (A). Nous insérons ici les variantes utiles du ms. V, dans lequel ce morceau est le premier du *Lapidaire* de Socrate et Denys, publié plus loin. — Ἀσμάραγδος V.
18. πρὸς om. B. — γὰρ] δὲ A. — φορ. αὐξάνει] βιοῦντας αὔξει A.
19. ὑδρομαντείας A; ὑδρομαντίας B.
20. Verba ὃς γὰρ ∾ δάκτυλον (l. 24), om. B. — πελέσει A. Abel : « πελέσει (*sic*). »
22. αὐτοῦ om. V. — Ἶσιν] ἴσιον V.
24. γεννᾶται] γίνεται B. — Φυσῶν A; Φεισῶν B.

δείσου ἐξέρχεται · οὗτος ὅρασιν ἔχει ὁμοίαν τῇ χλόῃ τῆς γῆς, καὶ ὁ μὲν πρασώδης οὕτως καλεῖται νερωνιανός · ὁ δὲ παρὰ τοῦτον ὑποχλωρίζων λέγεται σμάραγδος ἀνακτορίζων. Ἐὰν δὲ ᾖ παρὰ τοῦτον ὑπόχλωρος, ἀσπροειδὴς ἔλαττον τούτου, λέγεται τακτώριος.

15] Λίθος ὑάκινθος ἰσ<οδύναμος?> τῷ σμαράγδῳ.

16] Λίθος σαρδόνυξ. Οὗτος γὰρ μόνος (?) ὑπὸ πάντων τῶν μάγων μόλοχος καλεῖται διὰ τὸ μαλάσσειν καὶ ἀπαλύνειν τὰς τῶν ὑπερεχόντων δυνάμεις. Οὗτος φυλακτήριον τοῦ σώματος μέγιστόν (?) ἐστιν. Οὗτος ἔχει ζώνας ποικίλας πολλάς, τὰς μὲν ἀεριζούσας, τὰς δὲ χρῶμα ἐχούσας μέλιτος, ἀλλὰ καὶ μελαίνας, ὑπολευκιζούσας καὶ ἑτέρας λευκοτέρας.

17] Λίθος ὀνυχίτης ἕτερος λευκὸς διόλου καὶ διαυγὴς καθάπερ ἀήρ. Ἔστι δὲ οὗτος ὀνυχίτου γένος. Οὗτος φορούμενος οὐκ ἐᾷ ὅλως ἀλγῆσαι τὸν στόμαχον · ἀλλὰ καὶ ὅσαις ἂν χρήσῃ τροφαῖς εὐπέπτης. Ὁ δὲ φορῶν μὴ ἀποτιθέσθω αὐτόν.

18] Λίθος χρυσόλιθος, ὑγρός, διαυγής, διαφαής, χρυσίζων. Οὗτος φορούμενος κοσμίους ποιεῖ καὶ ἀγαθοὺς ταῖς γνώμαις · μάλιστα δὲ ταῖς γυναιξὶν φορεῖν συμφέρει. Ποιεῖ δὲ πολλὴν χάριν.

19] Λίθος <ὀ>πάλλιος. Οὗτος λέγεται ὑπό τινων σαλπίζωνος, ὑπὸ δὲ ἄλλων παιδέρως διὰ τὴν εὐμορφίαν. Ἔστι δὲ παρόμοιος ἀμεθύστῳ, ἀνειμένος καὶ διαυγής, ὑελίζων, προσφιλὴς δὲ πᾶσι, μάλιστα τῷ ἡλίῳ. Ἔστι δὲ οὗτος καὶ πρὸς τὰς τῶν ὑπερεχόντων αἰτήσεις ἐπιτευκτικός, ἐπιχαρής τε καὶ ἔνδοξος ὁ λίθος. Ἔστι δὲ τοὺς ἀποτροπιαζομένους ἄκρως εὐεργετῶν, καὶ μάλιστα τοῖς φανταζομένοις ὑπὸ τῆς Ἑκάτης. Ποιεῖ δὲ καὶ πρὸς τὰ ἀφροδίσια τῶν παίδων. Γλύφεται δὲ ἐν αὐτῷ + ΦΗϹΟΧϽЄЄϹϹϽ·ЄΠΥ +.

20] Λίθος δενδραχάτης ἔχων ἐν ἑαυτῷ δενδρύφια · ἔσωθεν γὰρ τοῦ λίθου διαφανεῖς ἔχει ἐν ἑαυτῷ ὡς δενδρύκλωνος · ἔχει δὲ ὁ λίθος ἔξωθεν μέρος τι μέλιτος

1. ἔρχεται V.
2. νερωνιανός] ῥωνίας A. Cp. S. Épiphane, publié plus loin, art. 3.
3. ἀνακτορίζων] ὑακτορίζων A V ; mot illisible dans le ms. B. « Dans un lapidaire inédit : Ὁ δὲ ὑποχλωρίζων λέγεται σμάραγδος ὑακτωρίων (?) ἐὰν ὑπόχλωρος ἀσπροειδής · ἔλαττον τούτου λέγεται τακτώριος. Voy. le vers 2729 (l. 2730). » (Miller, *Not. et extr. des mss.*, t. XIX, 2e partie, p. 59, sur le vers 1124 du poème de Méliténiote, dont nous reproduisons plus loin la partie relative aux pierres précieuses.) Miller n'indique pas le manuscrit contenant le texte qu'il cite. — Verba Ἐὰν δὲ ∾ τακτώριος om. A. — Ὁ δὲ παρὰ τοῦτον om. B. — ὑποχλωριάζων V.
5. Cp. Socrate et Denys, art. 7.
6. Γαρδόνυξ B. — καλεῖται] λέγεται dans Socrate et Denys.
11. Cp. Socrate et Denys, art. 11.
14. Cp. Socrate et Denys, art. 13.
17. Cp. Socrate et Denys, art. 14. — τινων] ἑτέρων B. — σαλπίζωνος V ; σηπιζῆνος B.
18. παιδέρως] Cp. Pline, *H. N.*, XXXVII, 22.
19. προσφιλὴς ἐν πᾶσι B.
20. ἐπίχαρις B. — Ἔστι] ἔτι B.
21. Lire τοῖς ἀποτροπιαζομένοις.
22. ἀφροδίσια om. B. — Ἑκάτης] ἑκάστης B.
24. Δεδραγχάτης B. Correxi.
25. F. l. δενδρόκλωνας (du mot supposé δενδρόκλων). — ἔχει δὲ ὁ λίθος, jusqu'à la fin de l'art.] Texte presque identique dans le ms. V,

χρῶμα, καὶ ἕτερον κηροῦ εἶδος, ἔσωθεν δὲ ὑπόλευκα διαφανέστατα δενδρύφια. Ἁρμόζει δὲ τοῖς οἰκονομοῦσι πράγματα · πιθανὸν γὰρ καὶ εὔπορον καὶ ἐγχειροῦντα ποιεῖ · συμβάλλεται δὲ ἐν τοῖς ἐν ἀγρῷ σπείρουσι <εἴ τις> περιτίθησιν αὐτὸν εἰς τὴν χεῖρα ἢ τὸν τράχηλον, τοῦτον ἔχων σπορεὺς, πολλαπλασίονα γεωργήσει · καὶ ἁπλῶς εἰπεῖν, μεγάλας ὠφελείας ἔχει · ἔτι μὲν καὶ εὐπορίαν δίδωσι τῷ φοροῦντι.

21] Λίθος ἰασπαχάτης. Οὗτος ὕδρωπα θεραπεύει καὶ δίψαν παύει παραδόξως · φυλάσσει δὲ καὶ τὸ σῶμα ὑγιὲς καὶ ἐρρωμένον.

22] Λίθος σαρδαχάτης θελκτήριος πρὸς πᾶσαν πρᾶξιν καὶ λόγων εὕρεσιν καὶ ἐπιφορᾶς, καὶ ἐχθρῶν ἀμυντικὸν καὶ ὑπαγωγὸς πρὸς ἔρωτα. Τοῦτον ὁ φορῶν προσφιλὴς πᾶσιν ἀνθρώποις γίνεται. Ἔτι δὲ καὶ φίλοιν μαχομένων μέσον θεὶς τὸν λίθον ἢ δοὺς αὐτὸν ἑτέρῳ κρατεῖν ἐν τῇ χειρί, παραχρῆμα διαλλαγήσονται. Τελεῖται δὲ τῇ ὑπογραφῇ ταύτῃ. + <SλƆ5λNbVZ<>Σ<λΠPVNI +. Οὗτος ὁ λίθος ἐστὶ χρώματος κιτρίνου, ἔχων ζώνας ἄσπρας καὶ ἑτέρας ζώνας ξανθιζούσας.

23] Λίθος πολύζωνος. Οὗτος στιβαρός ἐστι, πυκνός, στερεός, ὑπόχρους, ἔχων ζώνας πυρώδεις, ἀεριζούσας, ἀφεγγεῖς (*sic*) καὶ ἑτέρας μακρὰς ζώνας ὡς ἐπιλευκιζούσας · καὶ ἐκ τῶν τοιούτων μακρῶν ζωνῶν, εἴπερ ὄφεος δέρμα περιέζωσται, οὗτος ποιεῖ φίλων συστάσεις πολλῶν, πράξεις τε καὶ κέρδη ἐκ πολλῶν ἀφορμῶν δίδωσιν, ἀπολύει περιαπτόμενος περιόδους νοσώδεις καὶ δίκας.

24] Λίθος πάγχρους · ποιεῖ τοῖς ἐπιληπτικοῖς καὶ ἰκτερικοῖς ἄκρως. Περιάπτε δὲ ἀρπεδονίῳ βάμμα βυκίνῳ εἰς τὸν τράχηλον, καὶ ἔσται παραχρῆμα ὑγιὴς ὁ πάσχων. Ἵνα δὲ ἴδῃς ὅτι ἀληθής ἐστι, ἐπειδή εἰσιν ὅμοιοι αὐτῶν πολλοὶ μηδαμοῦ χρήσιμοι, βάλου εἰς χύτραν καινὴν χρώματα πολλὰ καὶ διάφορα ζῶα γραφικὰ καὶ ὑπόκαυσον πολὺ πυρὶ ἐπὶ ὥρας δύο · καὶ ἐὰν ᾖ ἀληθὴς ὁ λίθος, πάντα τὰ χρώματα γίνεται ὡς μιλτός, τὴν δὲ ὀσμὴν ἕξει ῥοδίνου <ἤτοι ?> μύρου καλλίστου. Τοῦτον τὸν λίθον λέγουσι πάγχρουν · καλεῖται δὲ <καὶ> ὑπό τινων ταωνίτης διὰ τὸ ἔχειν αὐτὸν χροιὰς πολλὰς καὶ ποικίλας · ἔχει γὰρ ἐν ἑαυτῷ ὡς ἐπὶ ταῶνος μόρφωσιν.

art. 3 (εὐπέταλος) (art. 3 du ms. B), ci-dessus p. 161, après le mot συνεχεστέρων de ce même article. Reproduit par Abel, p. 140, l. 10, note.

1. καροῦ Ab.

4. ἢ εἰς τὸν τράχ. Ab. — ἔχω Ab., leçon dénuée de sens. — πολυπλασίονα Ab.

5. ἔχει ὁ λίθος Ab. — μὲν] μὴν Ab. — Après φοροῦντι] Le ms. V, cité par Abel (*ibid.*), continue ainsi : χάρασσε δὲ εἰς λίθον Ἑρμῆν τέλειον τῷ (*sic*) εὐωνύμῳ χειρὶ βαλάντιον φέροντα, τῇ δὲ δεξιᾷ βιβλίον, πρὸς δὲ τοῖς ποσὶ κυνοκέφαλον τὰς χεῖρας ἐκτείνοντα ὥσπερ εὐχόμενον.

7. ὑγιῆ B.

11. Réd. de R : Τέλης δὲ εἰς τὸν λίθον ὑπογραφὴν ταύτην ·

ЄλCCƆ,SΛNƆΥ3<ΠPΥNI.

13. ἄσπρας] λευκὰς R.

15. F. l. εὐφεγγεῖς.

19. Πάγχρους] Panchrus dans Pline, *H. N.*, XXXVII, 66.

20. βάμμα βυκίνῳ] F. l. βομβυκίνῳ (mot supposé ; cp. bombycinus, dans Pline, *H. N.*, XI, 26. Autre conjecture : βάμμα βυσσίνῳ (?).

23. F. l. πολλῷ πυρί.

25. ταωνίτης] Taos dans Pline, *H. N.*, XXXVII, 72.

26. ἐπιταῶνος B.

25] Λίθος σμυρνίτης ὑπόχλωρός ἐστιν, ἀποτριβόμενος δὲ ὀσμὴν δίδωσι σμύρνης ὁμοίαν · ἔστι δὲ χαριτήσιον μέγα, μάλιστα δὲ γυναιξί · πολλοὶ γὰρ ἐρασθήσονται αὐτῆς ἀπλανῶς τῇ δυνάμει · ἀντιφάρμακον οὗτός ἐστι τοῖς πάσχουσι · διαιρεῖται δὲ ὑποτριβόμενος.

26] Λίθοι χελιδόνιοι γίνονται εἰς τὰς κεφαλὰς τῶν χελιδονίων. Οὗτοι φορούμενοι χάριν ἔχουσιν ἐπιτευκτικὴν εἰς ὅ τι ἂν βούλῃ. Ποιοῦσι δὲ προσφιλεῖς καὶ ἐρασμίους καὶ εὐπράκτους, εἴτε γυνὴ ἔχει αὐτόν, εἴτε ἀνήρ. Ἄλλως δέ · οἱ χελιδόνιοι λίθοι εἰς τὰς κοιλίας τῶν χελιδόνων εὑρίσκονται · βελτίονες δέ εἰσιν οἱ ἀπὸ τῶν νοσσιῶν λαμβανόμενοι. Γένη δὲ αὐτῶν εἰσι δύο, μέλας καὶ πυρρός. Λάμβανε δὲ τὰς χελιδόνας ἐξ ἱεροῦ τόπου, βέλτιον γάρ ἐστιν · εἰ δὲ μή, ἀπὸ ἀγορᾶς ἐπισήμου τόπου δημοσίου, πλεῖστον καὶ ἰσχύουσιν αὐτά. Ταύτας οὖν ἄρας θῦσον καὶ ἆρον τοὺς λίθους · εἰσὶ γὰρ ἀναγκαῖοι πρὸς σεληνιαζομένους τε καὶ ἐπιληπτικούς.

27] Λίθος ἱερακίτης ὅμοιός ἐστι τῇ τοῦ ὀρνέου πτερώσει · ἔχει δὲ ἐν αὐτῷ ἰνάρια ἀργυρίζοντα καὶ χρυσίζοντα · ὃν διήρας λίνῳ (?) τῷ ἀπὸ τῆς καλάμης φόρει. Ἀγαθός ἐστι, πρᾶος ταῖς ἀπαντήσεσι · πρὸς δὲ τὰ διορατικὰ τῶν ὀμμάτων ἄκρως ποιεῖ · τὴν δὲ βαρυωπίαν ἣν <περ λέ> γουσίν τι<νες> ἄμβλωσιν, ἢ νεφέλιον ὁ λίθος περιαφθεὶς κατὰ τοῦ μετώπου ἀφαιρεῖται, ὀξυδορκίαν τε καὶ εὐοψίαν πάνυ παρέχει, οἵαν καὶ (f. 477 r.) αὐτὸ τὸ ζῶον ἔχει, καθὼς καὶ Δαρεῖος (?) ἀποφ<αίνει ?> ... (demi-ligne illisible) ὀξὺ........ ἐν τῷἐγκεφάλῳ τοῦ ζώου ἢ ἐν τῷ μετώπῳ ο αναγ πρὸς ὄνυχας.... πρακτὸς τοῖς κεκτημένοις · ὁμοίως δὲ καὶ μυίαις ἀντιπάσχει ἄκρως · ἐὰν γὰρ . μυῖα (?) τὸν φοροῦντα αὐ<τὸν>, οὐ καθιστήσεται μυῖα ἐπ' αὐτόν.

28] <Λ>ίθος δρακοντί<της> ... ἐκ ζῶντος (?) λαμβάνεται · ἔστι ....ἐπιμήκης τελούμενος ζώναις τρισί, πορφυρᾷ, ὑακινθίνῃ καὶ λευκίνῃ · ἔμπνους δέ ἐστι κινού<μενος>, <...χρή>σιμος πρὸς ἀμαύρωσιν.

29] <Λ>ίθος ἀσπαλακίτης ἔμπνους ἦν καὶ αὐτός · ἐμφερής ἐστι..... ......ἐπιτέλλοντι, καὶ χρήσιμος πρὸς θησαυρῶν εὕρεσιν · ἀκίνητος γάρ ἐστιν ὁ φορῶν αὐτὸν ἐν ὠσί......

30] Λίθος σαυρίτης ἐκ σαύρας ζώσης λαμβάνεται · εὐειδέστατος δέ ἐστι καὶ δίχροος β..ρύων (?)... Ἀφροδίτην παρ.......... Πρὸς ἀγωγὰς δὲ χρήσιμός ἐστιν · ἄξεις γὰρ ἣν βούλει ἐπευξάμενος αὐτῷ τὴν ἀρρ ισιν.....

1. σμυρνίτης, Myrrhites dans Pline, XXXVII, c. 63.
6. βούλει B.
11. Les mots ἐπισήμου τόπου δημοσίου sont probablement une glose byzantine insérée dans le texte.
13. Cet article contient plusieurs mots que le fac-similé photographique n'a pu faire reparaître.
16. Les lettres suppléées ici sont restées en blanc dans le ms.
20. Cp. *Damigéron*, art. XXVI.
23. ζῶντος] Cp. Pline, *H. N.*, XXXVII, 57.
27. ἀκίνητος] F. l. ἀνίκητος. — Voir plus loin (p. 172) le § 4 du ms. R.
29. σαυρίτης] Cp. Pline, *H. N.*, XXXVII, 67.

31] Λίθος φρυνίτης. Ἐκ βατράχου φρυνίτης λαμβάνεται· ὅμοιος δέ ἐστι κατὰ πάντα χελώνῃ· οὗτος χρήσιμός ἐστιν εἰς ἀγωγὴν γυναικῶν, ἐπειπόντος σου ταύτην τὴν εὐχὴν· περιπατήσει γὰρ πάντα τὸν χρόνον ἡ γυνή.

32] <Λ>ίθος ὑαινίτης ποιεῖ μεγάλα πράγματα· παρέχει δὲ καὶ ὀξυδορκίαν· οὗτος εὑρίσκεται εἰς τὴν καρδίαν τοῦ ζώου καὶ τελούμενος ποιεῖ πολλὰς ἐνεργείας καὶ τὰ ἐν σκοτείᾳ φαίνεσθαι.

Textes contenus dans le Vaticanus graecus 578 (V).

1, 2, 3, 4] §§ 1, 2, 3, 4 du Baroccianus 131 (B).

5] Λίθος ὁ καλούμενος ζαμίλαμπις, ὅστις φύεται μὲν παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ Εὐφράτου, ὥστε καὶ ὑπὸ τῶν ῥευμάτων αὐτοῦ γυμνούμενος φανεροῦται. Περιδεσμούμενος δὲ ταῖς ἀμπέλοις πολυσταφύλους αὐτὰς καὶ εὐφόρους παρασκευάζει.

6, 7, 8] §§ 5, 6, 7 de B.

P. 143. Abel. 9] Λίθος ὀφιανός. Οὗτος τὴν κλῆσιν ἔλαβεν ἀπὸ τοῦ ἐξ αὐτοῦ προβλέπειν καὶ προμαντεύεσθαι τοὺς παλαιοὺς τὰ μέλλοντα· τρίβοντες γὰρ αὐτὸν καὶ ἅμα τῇ εὐωδεστάτῃ σμύρνῃ μιγνύντες καὶ κατὰ πυρὸς ἐπιρραίνοντες πρὸς τὰς κινήσεις αὐτοῦ καὶ τὰ ἅλματα καθάπερ ἐκ τοῦ ἅλματος καὶ οἱ ἡπατοσκόποι τῶν μελλόντων κατεστοχάζοντο. Λέγουσι δὲ αὐτὸν καὶ νεύρων χαλεπὰ πάθη ἰᾶσθαι ἐπιπασσόμενον καὶ ἐπαλείφειν λεπίδας.

10, 11] §§ 9 et 10 de B.

P. 145. 12] Λίθος ἡ ὀφιῆτις. Αὐτὴ τριβομένη, φασίν, καὶ ἐπιπασσομένη πᾶσιν ἕλκεσί τε καὶ τραύμασιν ὑγείας περιποιητική.

13] § 11 de B.

P. 145. 14] Λίθος ὀστρίτης καλούμενος τριβόμενος καὶ σὺν οἴνῳ πινόμενος ὀδυνήφατος, ἤγουν παντὸς ἀλγήματος καταπαύων ὀδύνας.

15] Ἀδελφὴ τούτοις καὶ ἐχῖτις, ἀπὸ τῆς ἐχίδνης ὀνομαζομένη, ἥτις καὶ τοῦ παλαιοῦ, φασί, Φιλοκτήτου τὸ σκέλος ἰάσατο κατὰ τοῦ ἐν αὐτῷ τραύματος τοῦ πολυετοῦς καὶ ἀνιάτου συνεχέστερον ἐπιπασσομένη.

16] § 10 de B (λίθος σιδηρίτης).

P. 147. 17] Λίθος γαγάτης. Τὸ αὐτὸ καὶ τοῦτόν φασι δύνασθαι, καπνιζομένου φεύ-

6. Après l'article ὑαινίτης, le ms. B contient, sans séparation, trois morceaux qui n'ont plus aucun rapport avec les précédents et que nous publierons dans les « Additions et corrections ». Le premier correspond à l'article νυκτερίς publié ci-dessus, p. 68, d'après un court fragment du ms. A, complété par le vieil interprète. — Le deuxième concerne la trempe du fer. (Cp. la *Collection des Alchimistes grecs,* publiée par Berthelot et Ruelle, V, III, 1.) — Le troisième donne un procédé pour chasser les fauves.

16. ἅλματος] αἵματος V. Correxit Abel. F. l. πάλματος.

γειν αὐτοῦ τὴν πνοὴν τὰ ἰοβόλα πάντα. Ἔστι δὲ τὴν μὲν χροιὰν αἰθαλώδης ὡς τέφρα, τὴν δὲ θέαν οὐ μέγας, ἀλλὰ πλατύς. Ἀνάπτεται δὲ ταχέως ὥσπερ ἡ πεύκη καὶ βαρεῖαν ἀποπέμπει πνοὴν ὡσπερεὶ ἀσφάλτου · καὶ διακριτικὸν δέ φασιν αὐτὸν τῆς ἱερᾶς νόσου · τούτους γὰρ ὀσφραινομένους αὐτοῦ καὶ μὴ φέροντας κατὰ γῆς εὐθὺς πίπτειν, καὶ γυναῖκας δὲ νόσους κρυφίους ἰᾶσθαι θυμιωμένου δεχομένας αὐτοῦ τὴν πνοὴν καὶ τοὺς πονηροὺς ἰχῶρας τοὺς ἔσωθεν τῶν σπλάγχνων αὐτῶν ἐκχεούσας · ἑρπετὰ δὲ ὁμοίως τοῖς πρὸ αὐτοῦ διώκειν καὶ ἄλλα τινὰ θαυμαστὰ τοῦτον ἐργάζεσθαι. Γεννᾶται δὲ ἐν Λυκίᾳ κατὰ τὴν πρὸς θάλασσαν εἰσβολὴν ποταμοῦ τοῦ λεγομένου Γάγαν. (V. aux Additions l'art. γαγάτης des *Notha Dioscoridis*.)

P. 147. 18] Λίθος ὁμώνυμος τῷ ἑρπετῷ σκορπίος · ὅστις κατὰ σκορπίων ἔχει, φασί, τὴν δύναμιν.

P. 147. 19] Λίθος ὁ λεγόμενος κορσίτης. Ὠνόμασται δὲ οὕτως ἀπὸ τοῦ κόρση, τουτέστιν ἀνθρωπείᾳ κεφαλῇ ἐοικέναι. Τοῦτον δέ φασι τριβόμενον μετὰ σκορόδου καὶ πινόμενον ἀλεξιφάρμακον τῶν ὑπὸ σκορπίου δηγμάτων γίνεσθαι, καὶ μετὰ ῥοδίνου δὲ ἐλαίου χριόμενον τὰς περιαυχενίους ὀδύνας παύειν, καὶ μετὰ μέλιτος κιρνάμενον καὶ πινόμενον καθαρτήριον γαστρὸς γίνεσθαι, καὶ ὑδέρους δὲ κενοῦν καὶ βουβῶνας ἰᾶσθαι.

20, 21] §§ 12 et 13 de B.

P. 152. 22] Λίθος ὁ αἱματίτης, ἀπ' αὐτῆς τῆς χροιᾶς οὕτως ὠνομασμένος · αἱματώδης γάρ ἐστι τὴν μορφήν. Ἀλλὰ καὶ τριβεὶς καὶ εἰς ὕδωρ ἐμβληθεὶς αἱματῶδες ὅλον κἀκεῖνο τίθησι. Τοῦτον εἰς πᾶσαν ὀφθαλμίαν ὠφελιμώτατον εἶναι λέγουσι κερασθέντα μετὰ μέλιτος εἴτε γάλακτος. Ἀλλὰ καὶ τῇ χειρὶ κρατούμενον ἢ φορούμενον ἐπὶ τοῖς ἐν δικαστηρίοις ἀγῶσι πρὸς νίκην μέγα συμβάλλεσθαι, καὶ μετὰ ὕδατος πινόμενον κατὰ τῶν ἰοβόλων πάντων ἀντιφάρμακον προφυλακτικὸν γίνεσθαι, καὶ ἡδὺν καὶ χαρίεντα καὶ πᾶσι φίλον τὸν φοροῦντα τοῦτον ἐργάζεσθαι.

P. 152. 23] Λίθος ὁ λιπαραῖος, ὅντινα καὶ λέγουσιν ἐν Ἀσσυρίᾳ γίνεσθαι κἀκεῖθέν ποτε παρὰ Μέμνονος εἰς Τροίαν κομισθῆναι καὶ τῷ Πριάμῳ τῷ βασιλεῖ τῶν Τρώων ὡς μέγα τι δῶρον προσενεχθῆναι. Τοῦτον δέ φασι καὶ τοὺς ἐν Αἰγύπτῳ καὶ Βαβυλῶνι μάγους περὶ πολλοῦ τίθεσθαι · πολλὰ γὰρ αὐτοῖς πρὸς τὰς ἐπῳδὰς αὐτῶν καὶ γοητείας συμβάλλεσθαι · καθημεροῦν δὲ διὰ τούτου καὶ ὄφεις καὶ δράκοντας. Ἀλλὰ καὶ πίνοντας ἐκ τούτου τοῦ λίθου μαντικοὺς γίνεσθαι καὶ ὀρνεοσκόπους, καὶ ἁπλῶς ὥσπερ ὀργάνῳ τῷ τοιούτῳ χρῆσθαι πρὸς πᾶσαν αὐτῶν τῆς τέχνης δύναμιν.

P. 152. 24] Λίθος νεβρίτης. Ὠνόμασται δὲ οὕτως ἀπὸ τοῦ ταῖς παλαιαῖς Βάκχαις ταῖς τὰς νεβρίδας φορούσαις καὶ θεραπαίναις καὶ ἀκολούθοις τοῦ Διονύσου ἐπιτήδειον

23. καὶ μετὰ ὕδατος jusqu'à la fin de l'art.] Seule partie du morceau contenue dans le ms. B, fol. 476 v. (Voir ci-dessus, p. 166, l. 10.)

33. νεβρίτης] νευρίτης Codd. Ab. Correxi.

34. « νευρίδας codd. fort. recte » Abel. Les corrections νεβρίτης et νεβρίδας ne font aucun doute. Cp. le *Lapidaire orphique*, vers 748; Pline, *H. N.*, XXXVII, 64.

εἶναι καὶ πρὸς μαντείας αὐταῖς συμβάλλεσθαι. Λέγουσι δὲ καὶ παυσίπονον αὐτὸν εἶναι τὰς ὀδύνας παντοίων ὄφεων ἐξιώμενον, τιθέναι δὲ καὶ τῇ γυναικὶ τὸν ἄνδρα φίλτατον καὶ ἐπιθυμητόν, καὶ ἀσπίδων δὲ ἀποτρεπτικὸν γίνεσθαι · τούτου δὲ τὴν χροιὰν ὁμοίαν εἶναι πράσῳ χλωρῷ.

P. 153. 25] Λίθος ὁ χαλαζίτης. Καὶ τούτου δὲ τὴν δύναμιν ἀρίστην εἶναι λέγουσιν ὡς καὶ πυρετῶν ἀποτρεπτικὴν καὶ σκορπιοδήκτοις ἰατικήν, καὶ μαντικὴν δὲ φανεροῦσαν τὰ μέλλοντα τῷ φοροῦντι.

Textes contenus dans le manuscrit de Paris 2419 (R)

1] Ἀποτέλεσμα γλυπτικὸν μαγνήτου. § 9 du ms. B.

2] Ἀποτέλεσμα γλυπτικὸν τοῦ λίθου σαρδαχάτου. § 22 de B.

3] Περὶ τῶν λίθων τῶν γινομένων ἐν τοῖς χελιδον<ίοις>. § 26 de B.

4] Ἀποτέλεσμαν γλυπτικὸν λίθου ἀσπαλακίτου. (Cp. le § 29 de B.) Ὁ λίθος ὁ ἀσπαλακίτης ἔμπνους καὶ αὐτὸς καὶ ἐμφερὴς τῷ ἀποβάλλοντι, χρήσιμος δὲ καὶ πρὸς <τὴν> τῶν <θη>σαυρῶν εὕρεσιν. Γλύψον δὲ εἰς αὐτὸν τὸν λίθον τὸν ἀσπαλακίτην ἄνθρωπον γυμνὸν κατέχοντα δίκελλαν, καὶ οἷον ἐπικεκυφότα καὶ σκάπτοντα, καὶ γυρόθεν αὐτοῦ τὰ ὀνόματα ταῦτα ·

A $^{P}_{M}$ R To A $^{P}_{M}$ ᛦ ᛦ

καὶ ὄπισθεν αὐτοῦ τὸ ὄνομα τοῦτο · ΑΡΑΜ · καὶ κατακλείσας ἐν χρυσῷ κανθάρῳ φόρει ἐν τῷ μικρῷ σου δακτύλῳ τῷ δεξιῷ, καὶ ἔσῃ ἀνίκητος καὶ ἀκίνητος ἔνθα εἰσὶν χρήματα.

5] Περὶ λίθου γαλακτίτου. § 2 de B.

6] Περὶ λίθου ἐλαφοκερατίτου. § 4 de B.

7] Περὶ λίθου τοπαζίου. § 7 de B.

8] Περὶ λίθου σιδηρίτου. § 10 de B.

9] Περὶ λίθου περιλευκίου ἀποτέλεσμαν. — Ὁ λίθος ὁ περιλεύκιος οὕτως ἐν τῷ βίῳ εὐπορίαν [εὔπορος] χρημάτων ποιεῖ. Γλύφεται δὲ ἐν τῷ λίθῳ ὠὸν ἐν ἡμέρᾳ καὶ ὥρᾳ τοῦ ἡλίου, καὶ ὁ φορῶν αὐτὸ ἐν βίῳ καὶ πραγμάτων ἄληπτός ἐστιν καὶ εἰς εὐπορίας πολῶν.

§ 10. Περὶ λίθου ἑτέρου ὀνυχίτου. — Λίθος ἕτερος ὀνυχίτης ἔχων ἐν αὐτῷ βέλτιστον χρῶμαν, μέσον δὲ λευκόν. Οὗτος περιχαραχθεὶς ἄνδραν καὶ

7. Après φοροῦντι] Suit, dans le Vaticanus 578, le morceau intitulé Σωκράτους καὶ Διονυσίου περὶ λίθων, dont la fin manque. Nous le publions ci-après.

8. Sur cette partie du ms. R, voir, dans la préface, la notice des manuscrits.

18. καθαρῷ R. Corr. conj.

γυναῖκαν ἐν ἡμέρᾳ καὶ ὥρᾳ Κρόνου, ποιεῖ δὲ τὸν φοροῦντα δόξαν εἰς ὄχλον, καὶ εὐημερίαν ἐν τῷ βίῳ καὶ εὐτεκνίαν ποιεῖται.

§ 11. Περὶ ἑτέρου λίθου ὀνυχίτου. — Λίθος ἕτερος ὀνυχίτης διαυγής, ἐπίλευκος καθάπερ ἀήρ · ἔστιν δὲ οὗτος <ὀνυχίτου> γένος, καὶ ὁ φέρων αὐτὸν οὐκ ἐᾷ ὅλως τὸν στόμαχον ἀλγῆσαι ὅσας ἂν κέκτηται τροφάς. Χάραξον δὲ εἰς αὐτὸν σπείραμα ὄφεως ἔχων κεφαλὴν μετὰ καὶ ἀκτίνων · ἔρρωσθαι δὲ ποιεῖ τὸν φοροῦντα ὥστε θαυμάσαι. Ὁ δὲ φορῶν αὐτὸν μὴ ἀποτίθεσθαι ἑαυτόν.

1. Κρόνου en signe. — δόξαν] F. l. ἔνδοξον. Cp. Socrate et Denys, § 9.

7. F. l. μὴ ἀποτιθέσθω αὐτόν.

SOCRATE ET DENYS

ΣΩΚΡΑΤΟΥΣ ΚΑΙ ΔΙΟΝΥΣΙΟΥ

ΠΕΡΙ ΛΙΘΩΝ

1] Λίθος ὁ σμάραγδος. § 14 des λιθικὰ κηρύγματα dans le ms. B (ci-dessus, p. 166). — Texte p. p. Abel (Damigeron, § VI, p. 168), d'après l'Ambrosianus A 95 [inf. ou sup. ?]

2] Λίθος ὑάκινθος. Γλύφεται ἐν τούτῳ τῷ λίθῳ τῷ καθαρῷ Ποσειδῶν ἔχων δελφῖνα τῷ δεξιῷ ποδὶ καὶ τρίαιναν τῇ δεξιᾷ χειρί. Τελέσας οὖν οὕτως, ἔχε φορῶν τὸ δακτύλιον, καὶ ποιεῖ πάντα ὅσα ὁ σμάραγδος. Ἀλλὰ καὶ τοὺς διὰ θαλάσσης ἐμπορευομένους ἀπὸ κλύδωνος ῥύεται.

3] Λίθος ὁ σπάνιος. Οὗτος καὶ ἄνευ γλυφῆς φορούμενος μεγάλα ἀποτελεῖ. Οὐδεὶς δὲ τὸν λίθον τοῦτον ἔχει, ἀλλ' ἢ μόνον ὁ Περσῶν βασιλεύς, ὅθεν δυνατὸς γέγονεν καὶ τῶν ἄλλων ὁ περιφερέστερος. Τὸ δὲ εἶδος τούτου τοῦ λίθου ἐστίν, ὥσπερεὶ λυχνίτης, καθαρόν, πορφυροῦν, ἡλιόφεγγον.

4-5] Λίθος ὁ χαλκηδόνιος τὴν χροιάν ἐστι πυραυγής, ἄνθρακι ὅμοιος, ἔλαττον δὲ τοῦ σπανίου στιβαρός. Οὗτος ὁ λίθος ἐστὶν ὁ λυχνίτης <ἢ> ὁ ἄνθραξ, καθαρόν, αἱματοειδές. Οὗτος ἐπιχαραχθεὶς Ἀθηνᾶν τελείαν κρατοῦσαν τῇ δεξιᾷ χειρὶ ὄρνεον τὸ λεγόμενον ἐρωδιόν, τῇ εὐωνύμῳ κατέχουσαν κράνον· καὶ φορούμενος μετὰ τὸ τελεσθῆναι τὸν φοροῦντα ποιήσει περιγίνεσθαι πάντων ἐχθρῶν καὶ ἀντιπάλων, ἐπιχαρήν τε καὶ εὐσύνετον καὶ παντοδύναμον καταπράττεσθαι, καὶ ναυαγίων ἀνώτερον. Σημείωσαι δὲ τὸν λίθον οἷός ἐστιν, ἐὰν αὐτὸν προτρίψῃς ἱματίῳ μαλακῷ. Ἐπισπαστικὸς γὰρ γίνεται, τῆς παρακειμένης αὐτῷ ὕλης, ἁρπά-

1. Voir sur ce texte la Préface, art. Socrate et Denys, et ci-dessus p. 172, l. 7, note.
7. ὑάκινθος V (ms. 578 du Vatican). — F. l. γλύφηται.
13. F. l. ὑπερφερέστατος.
16. ἔστιν ὁ λυχνίτης <ἢ> ὁ ἄνθραξ] F. suppl. ἔστιν <ὥσπερ> ὁ λυχνίτης <ἢ> ὁ ἄνθραξ...
21. ἀνώτερον] F. l. ἀπώτερον.

ζων κάρφη, ὥσπερεὶ καὶ ὁ μαγνήτης τὸ σίδηρον. Γίνεται δὲ ἐν τῇ Ἰνδικῇ, ὅπου καὶ ὁ προγεγραμμένος.

6] Λίθος ὁ βαβυλώνιος · οἱ δὲ σάρδιον τοῦτο καλοῦσι · βαβυλώνιος δέ ἐστιν ἕτερος λίθος ὑποκείμενος τοῖς Χαλδαίοις. Ὁ δὲ βαβυλώνιος ἔχει ὡς ἄνθρακος καιομένου αὐγήν, ἡδὺς δι' ἑσπέρας < καὶ > ἡλίου ἀνατολῇ · οὗτος ὁ σάρδιος εἰς Βαβυλῶνα γίνεται λευκίζων, ἔχων ζώνας μέσον ἀπαυγαζούσας. Οὗτος φορούμενος ὑπὸ λαμπρῶν ἀνδρῶν, μάλιστα τῶν ἐν τῷ παλατίῳ ποιεῖ αὐτοὺς ἐν μάχαις τιμᾶσθαι δόξαι. Γεγλυμμένην ἔχει Ἄρτεμιν τελείαν καὶ παρισταμένην αὐτῇ ἔλαφον. Ποιεῖ δὲ τὸν φοροῦντα ἀνδρεῖον, γοργόν, γενναῖον, εὔψυχον · ἀπωθεῖται δὲ καὶ τὰ ἀπὸ τῶν πολεμίων ἐπιφερόμενα τραύματα, καὶ περιάψας τὸν λίθον εἰς τὸν τόπον οὐκ ἐᾷ τὸ τραῦμα οἰδῆσαι. Τηρεῖ δὲ καὶ ἀνώδυνον τὸν φοροῦντα ἀπὸ τῶν τραυμάτων ὧν ἔχει. Γλύφεται δὲ καὶ Ἄρης ὁ δεσπόζων τοῦ λίθου · τούτῳ γὰρ ἀνάκειται.

7] Λίθος σαρδώνιος. Οὗτος ὑπὸ πάντων τῶν μάγων μόλοχος λέγεται διὰ τὸ μαλάσσειν καὶ ἁπαλύνειν τὰς τῶν ὑπερεχόντων δυνάμεις. Οὗτος φυλακτήριον μέγα ἐστίν. Ἀθηναῖοι δὲ τούτῳ χρῶνται τῷ λίθῳ, ὅτι ἐπιτευκτικός ἐστι · λαμβάνουσι δὲ αὐτὸν μηνὶ ξανθικῷ, ἡλίου ὄντος ἐν Κριῷ καὶ γλύφουσι κριὸν καὶ Ἀθηνᾶν καρδίαν κρατοῦσαν. Οὗτος ἔχει ζώνας ποικίλας πολλάς, τὰς μὲν ἀεριζούσας, τὰς δὲ χρώματα ἐχούσας μέλιτος, ἀλλὰ καὶ μελαίνας καὶ ὑπολευκιζούσας καὶ ἑτέρας λευκοτέρας.

8] Λίθος ὀνυχίτης. Οὗτος ἐν τῇ Ἰνδικῇ γίνεται, λευκὰς ζώνας πλείστας ἔχων ἐν ἑαυτῷ ἀεριζούσας. Ἐπιχάρασσε δὲ ἐπ' αὐτῷ σπείραμα ὄφεως ἔχον προτομὴν ἤγουν κεφαλὴν κυνός. Οὗτος φορούμενος τὰ ἐντὸς πάντα φυλάττει καὶ οὐκ ἐᾷ βλαβῆναι τὸν φοροῦντα αὐτόν · ἔχει δὲ ζώνας λευκάς, ὡς εἴρηται, καὶ ὀλίγον ξανθιζούσας.

9] Λίθος ὀνυχίτης ἔχων ἐν ἑαυτῷ τὸ μέν τι μέλιτος χρῶμα, τὸ δέ τι μέλαν, μέλιτος δὲ λευκόν. Οὗτος ἐπιχαραχθεὶς τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν εὐτεκνίαν ποιεῖται. Ἐὰν δὲ ἐν ὄχλῳ προπορεύεται ὁ φορῶν, ἐνδοξότητα καὶ εὐημερίαν αὐτῷ προξενεῖ.

10] Λίθος ὀνυχίτης ἕτερος, ὅν τινες περιλεύκιον καλοῦσιν. Ἐὰν γλυφῇ εἰς αὐτὸν ᾠὸν καὶ μέσον τοῦ ᾠοῦ κάνθαρον, ἄληπτος ἐν τῷ βίῳ ἐστὶ καὶ χρημάτων καὶ πραγμάτων εὐπορήσας πολλῶν.

3. σάρδιος V.
5. ἡδὺς] « F. l. ἤδη » F. de Mély, qui propose de supprimer la ponctuation après αὐγὴν et après ἀνατολῇ.
8. δόξαις V.
13. μαλοχὸς V.
14. ἀπελαύνειν V. Corrigé d'après l'Épitomé, art. 16 du ms. B.
15. ἐπιτευτικὸς V, faute très fréquente dans tous nos mss.
16. ξανθικὸς, mois du calendrier syro-macédonien.
17. ἐαριζούσας V.
27. ἐνδοξότατος A, V. Correxi. Cette confusion se produit souvent dans les manuscrits abrégés.

11] Λίθος ὀνυχίτης ἕτερος λευκὸς καὶ διαυγὴς διόλου καθάπερ ἀήρ. Ἔστι δὲ οὗτος ὀνυχίτου γένος. Ἐπιχάρασσε οὖν εἰς αὐτὸν σπείραμα ὄφεως ἔχον προτομὴν ἤτοι κεφαλὴν λέοντος καὶ ἀκτῖνας. Οὗτος φορούμενος οὐκ ἐᾷ ὅλως ἀλγῆσαι τὸν στόμαχον. Ἀλλὰ καὶ ὅσαις ἂν χρήσῃ τροφαῖς εὐπεπτήσαις · ὁ δὲ φορῶν μὴ ἀποτίθεσθω αὐτόν.

12] Λίθος ὀνυχίτης ἕτερος, μέλας τῇ ὄψει διόλου. Οὗτος ὠφέλιμος ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις. Γλύφεται δὲ ἐν αὐτῷ Χνούβιος ἔχων κεφαλὰς τρεῖς.

13] Λίθος χρυσόλιθος ὑγρός, διαυγής, χρυσίζων, διαφανής. Οὗτος φορούμενος κοσμίους ποιεῖ καὶ ἀγαθοὺς ταῖς γνώμαις · μάλιστα δὲ ταῖς γυναιξὶ φορεῖν συμφέρει. Ἐπιχάρασσε οὖν Ἀφροδίτην καὶ τελέσας ἔχε. Ποιεῖ δὲ πολλὴν χάριν.

14] Λίθος <ὀ>πάλλιος. Même texte que dans le Baroccianus, article 19, sauf quelques variantes mentionnées aux notes de cet article.

15] Λίθος ἀχάτης. Οἱ ἀχάται μεγίστην δύναμιν ἔχουσιν · εἰσὶ δὲ Ἑρμοῦ. Ὁ δὲ ὁμόχρους λέοντος δορᾷ ἰσχύοι πρὸς τοὺς σκορπιοδήκτους προστεθεὶς ἢ λειωθεὶς καὶ παραχρισθεὶς μεθ' ὕδατος · αὐτίκα γὰρ ἄπονον ποιεῖ τὸν πληγέντα. Εὔθετος δὲ καὶ ἐν τοῖς ἐχιοδήκτοις, τριβεὶς καὶ ἐπιπασθεὶς < ἐπὶ > τοῦ δήγματος, ἢ καὶ μετὰ οἴνου ποτισθείς. Φορούμενος δὲ ἐν τῷ δακτυλίῳ ποιεῖ τὸν φοροῦντα εὐπροσήγορον καὶ εὐόμιλον καὶ εὐπειθῆ καὶ δυνατὸν καὶ ἐν πᾶσι περιχαρῆ, εὔρωστον τε καὶ εὔχρουν. Τελεῖται δὲ οὕτως. Λαβὼν βελόνην χαλκῆν, γράφε ἐν αὐτῷ τὸ ὄνομα τοῦτο ἸΑΧΩ͂, καὶ ὑπόθες εἰς τὸν δακτύλιον τὸν λίθον, καὶ ἐντυπώσας φόρει. Οὗτός ἐστιν ὁλοκίτρινος.

16] Λίθος ἀνταχάτης. Ἔστι μὲν πολλῷ διαφορώτερος τῷ εἴδει τοῦ ἀχάτου, τῇ δὲ δυνάμει κράτιστος. Οὗτος ὁ λίθος τριταῖον τε καὶ τεταρταῖον καὶ πάσην ἄλλην περίοδον νόσου ἰᾶται. Γίνεται δὲ οὕτως. Τρίψας ὑποθυμία εἰς διαπύρους ἄνθρακας ὡς ἀντὶ λιβανώτου · οὐκ ἄγαν δὲ λεπτὸν θυμιᾶται, ὡς ἂν ἐπὶ πλείονας ὥρας μείνας ἑλκυσθῇ διὰ τῶν αἰσθήσεων · καὶ οὕτως ἀπαλλάσσεται τῆς περι... Reliqua desiderantur.

6. F. suppl. ταῖς <βρέφος> ἐν γ. ἐχούσαις.

7. χνούβιος] χούβιος V. Cp. le nom du dieu égyptien Chnuphis (Leemans, *Papyri graeci musei Lugduni-Batavi*, t. II, p. 58), ou, mieux, le nom d'Anubis, mercure égyptien « πάντων θεῶν ὑπερέτης » (Wessely, *Neue griechische Zauberpapyri*, p. 38, vers 557). Anubis est ψυχαγωγός comme Hermès; d'autre part, en mythologie et en alchimie, Hermès est tricéphale.

14. Article publié par Abel, *Damigeron*, p. 177, note, d'après le ms. V.

15. προτεθεὶς V. προστεθεὶς Ab. qui propose προσδεθείς.

17. ἐπιμασθεὶς τοῦ δήγματος V. ἐπιπασθεὶς τῷ δήγματι Ab. Addition conj.

21. οὗτος δὲ ὁλοκίτρινος Ab.

22. Article publié par Abel dans sa première édition du poème orphique, note sur le vers 637, p. 98.

23. πάσης V. Correxit Ab. « πάσης retinendum » F. de Mély.

25. ἀντιλιβανώτου Ab.

26. περι...] F. l. περιπνευμονίας.

27. Note du copiste de 1894 : Fol. 217. Nihil de lapillis pretiosis, sed est fragmentum incerti epistolae quod incipit : Γνώμης ἐπὶ πᾶσι τοῖς ἐξ ἐμοῦ προγινομένοις...

PSEUDO-DIOSCORIDE

ΠΕΡΙ ΛΙΘΩΝ

1] Λιθάργυρος· Ἀγαρηνοὶ μάρτικ· ἡ μὲν ἐκ μολιβδίτιδος ἄμμου γεννᾶται χωνευομένη ἄχρι τελείας ἐκπυρώσεως, ἡ δὲ ἐξ ἀργύρου, εἴτε ἐκ μολίβδου· γίνεται δὲ ἐν Ἀττικῇ καὶ Ἰνδίᾳ καὶ Σικελίᾳ καὶ Ἱσπανίᾳ.

2] Λίθος ἀγήραντος.

3] Λίθος ἀετίτης.

Hi duo, vacuis interjacentibus spatiis, descriptione carent. (Iriarte.)

4] Λίθος αἱματίτης Ῥωμαῖοι αἱματίστα· ἀπὸ τῆς κατὰ τὴν χρόαν ὁμοιότητος· παραξυόμενος γὰρ ἀκόναις αἱματώδη χυλὸν ἀνίησι. Τοσοῦτον μετέχων τῆς ψύξεως ὅσον καὶ τῆς στύψεως, οὗτος τριβόμενος καὶ πινόμενος αἱμορραγίαν παύει· καὶ αἱμάτων πτύσεσιν ἁρμόττει, καὶ πᾶσιν ἕλκεσι καὶ δυσουρίαις· ξηρὸς δὲ λειωθεὶς καταστέλλει τὰ ὑπερσαρκοῦντα· σὺν δὲ γάλακτι γυναικείῳ ὑφαίμους ὀφθαλμοὺς θεραπεύει.

5] Λίθος ἄσσιος ὁ ἐν Ἄσσῳ γενόμενος· κισσηρώδης.

6] Λίθος ἀρμένιος· Ἀγαρηνοὶ λαζουέρδ.

7] Λίθος γαιώδης· Ἄφροι γάγζαρ ἔλαρ. Οὗτος στύφει καὶ ξηραίνει καὶ ἀποκαθαίρει τὰ ἐπισκοτοῦντα ταῖς κόραις· χρισθεὶς δὲ μεθ' ὕδατος μασθῶν καὶ ὀρχέων παύει φλεγμονάς.

1. Lapidaire publié par Iriarte, *Regiae bibliothecae matritensis codices graeci manuscripti*, p. 437. Cod. N 110 (I), fol. 155-157. Nous devons rappeler que les leçons de ce manuscrit sont données d'après la publication d'Iriarte.

3. Λιθάργυρος. Cp. Dioscoride, *Matière médicale*, l. V, § 102, t. I, p. 765, Kühn. — ἐμολιβότιδος I. Correxi e Diosc.

4. χωνευομένης Diosc. f. mel.

7. Λίθος ἀετίτης. Cp. Diosc. V, 160.

9. Λ. αἱματίτης. Cp. Diosc. V, 143.

10. παραξυόμενος] παραξιβόμενος I. Corr. conj. F. l. παρατριβόμενος (ἐπ' ἀκόνης τριβόμενος Diosc.).

15. Λ. ἄσσιος. Cp. Diosc. V, 141. — Ἄσσῳ] Νάσῳ I. Correxi e Diosc. (Assos, ville de Troade). Cp. Pline, *H. N.*, XXXVI, 27. — κισσηρώδης] κιακρώδης I. Correxi e Diosc.

16. Λ. ἀρμένιος. Cp. Diosc. V, 105, et la note 68 de Kühn.

17. Λ. γαιώδης. Cp. Diosc. V, 168, ubi γεώδης.

18. ταῖς κόραις] τοῖς ὀφθαλμοῖς Diosc.

8] Λίθος γαγάτης ὁ ἐν Λυκίᾳ εὑρισκόμενος παρὰ τὸν Γάγην ποταμόν· ξηραίνει δὲ ἱκανῶς καὶ μαλάσσει καὶ διαφορεῖ· τὸ ἀφέψημα δὲ αὐτοῦ πινόμενον ἕλμινθας ἐκτινάσσει, καὶ περιαπτόμενος κεφαλαλγίας χρονίας παύει· καὶ ὠκυτοκίας ἐργάζεται τῇ χειρὶ κρατούμενος· προσαγόμενος δὲ πυρὶ καὶ ἐν οἴνῳ σβεννύμενος ὠφελεῖ καρδιακοὺς τοῦ οἴνου ποθέντος.

9] Λίθος γαλακτίτης παραπλησίαν τῷ μοροξῷ χρόαν ἔχων, ὑπόχλωρον καὶ γαλακτώδη χυλὸν ἀνίησιν· οὗτος πολυγάλους τὰς γυναῖκας ποιεῖ λουσαμένας καὶ μεθ' ὕδατος ἢ οἴνου πιούσας· μίγνυται δὲ καὶ ὀφθαλμικαῖς δυνάμεσι. Φασὶ δὲ αὐτὸν περιαπτόμενον τραχήλῳ παιδίων ὀδοντιώντων ἔκφυσιν παρασκευάζειν.

10] Λίθος ἠλέκτρου ἢ λυγγούριον ἢ σούχινον. Πινόμενος οὗτος ἰᾶται δυσουρίαν καὶ στομαχικοὺς ὠφελεῖ καὶ ὠχριάσεις· καὶ τὸ ἤλεκτρον δὲ σὺν μαστίχῃ πινόμενον ἀλγήματα στομάχου ἰᾶται.

11] Λίθος θρακίας γίνεται μὲν ἐν Σινθίᾳ ἐν ποταμῷ τῷ λεγομένῳ Πόντῳ· δύναμιν δὲ ἔχει τὴν αὐτὴν τῷ γαγάτῃ· ἱστόρηται δὲ ἐκθερμαίνεσθαι ὑφ' ὕδατος, σβέννυσθαι ὑπὸ ἐλαίου καθάπερ καὶ τὴν ἀσφάλτην.

12] Λίθος ἴασπις· Ἄφροι ζομουράδ. Ὁ μέν τίς ἐστι σμαραγδίζων, ὁ δὲ κρυσταλλίζων καὶ φλέγματι ἐοικώς· ὁ δὲ ἀερίζων· ὁ δὲ καπνίζων· ὁ δὲ λευκίζων καὶ ἀποστίλβων· ὁ δὲ τερμινθίζων. Δοκοῦσι δὲ πάντες εἶναι φυλακτήρια περιαπτόμενοι καὶ ὠκυτοκίαν ἐργαζόμενοι καὶ ἀλγήματα στομάχου ἰώμενοι, καὶ ὀδύνης...

13] Λίθος ἰασπαχάτης ἐκ τῆς σμαραγδιζούσης ἐστὶν ἰάσπιδος καὶ τοῦ ἀχάτου· δύναμιν δὲ ἔχει δίψους παυστικήν· καὶ ὑδρωπικοῖς βοηθεῖ, καὶ ἠπατικοῖς καὶ περιπνευμονικοῖς πινόμενος· καὶ τὸ σῶμα εὐανθὲς ποιεῖ.

14] Λίθος ἱερακίτης καὶ ἰνδικὸς περιαπτόμενος μηρῷ δεξιῷ τὰς αἱμορροΐδας ἀναξηραίνουσιν, ὡς καὶ ἡμεῖς ἐπειράθημεν· ὁ δὲ Διογένης ἐν τῷ περὶ λίθων οὕτω φησίν· Ἱερακίτης λίθος ὑπόχλωρος μέν ἐστι καὶ πρὸς τὸ μέλαν ἐπικλίνει· δύναμιν δὲ ἔχει ἀναξηραντικὴν αἱμορροΐδων.

15] Λίθος ἰνδικὸς τὴν μὲν χρόαν ἐστὶν ὑπόπυρρος· τριβόμενος δὲ πορφυροῦν

1. Λ. γαγάτης. Cp. Diosc. V, 145. — ἐν Λυκίᾳ] Item Diosc. Note de Kühn : Ex Galeno, *Fac. simpl.*, l. IX, p. 205. Steph. Byz. Γάγαι, et Nicandr. Scholia ad Theriaca, v. 37. Vulgo Κιλικία. — Γάγην] F. l. Γάγαν.

6. Λ. γαλακτίτης. Cp. Diosc., V, 149.

9. τραχήλων παιδίαν I. Correxi. — παρασκευάζει I.

10. F. l. λυγκούριον. Cp. Diosc. II, 100 (λυγγούριον), art. placé entre celui des urines et celui du miel. Urine de lynx pétrifiée.

11. ἠλέκτρου] F. l. ἤλεκτρον.

13. Λ. θρακίας.] ἀνθρακίας I. Correxi e Diosc. V, 146. — Σινθίᾳ] Σκυθία I, Diosc., vulg. Correction de Saumaise, *Plin. exercit.*, p. 179.

14. γαγάτῃ] γάγῃ I. Correxi e Diosc.

16. Λ. ἴασπις. Cp. Diosc., V, 159.

18. τερμιθίζων V; τερεβίνθίζων Diosc.

19. καὶ ὀδύνης...] F. suppl. καὶ ὀδ. <πραϋντικοί>. Cp. Aëtius, II, 36, ubi : Ἴασπις ἀλγήματα παύει καὶ παραλύσεων καὶ ὀδυνῶν ἐστι πραϋντικός. (V. ci-dessus, p. 133. l. 10.)

23. αἱμορραΐδων I, ici et partout.

26. ἔχειν I.

27. Λ. ἰνδικὸς. Cp. Diosc., V, 107. — ὑπόπυρος I. Correxi ex Plinio, *H. N.*, XXXVII, 61 (subrufo colore.)

ἀνίησι χυλόν · καὶ μετ' ἀκράτου οἴνου πινόμενος αἱμοπτυϊκοὺς ὠφελεῖ · καὶ αἱμορροΐδας ἀναξηραίνει.

16] Λίθος κίσσηρις ῥυπτικῆς ἐστι δυνάμεως, ὡς καὶ ἡ σμύρις. Λαμπρύνει τοὺς ὄδοντας.

17] Λίθος ἴασπις καλούμενος ὁ ἐκ τῆς Αἰθιοπίας κομιζόμενος ὑπόχλωρός ἐστι · καὶ γαλακτώδη χυλὸν ἀνίησιν · καὶ διὰ τοῦτο ἁρμόζει εἰς τὸ καθᾶραι καὶ ῥύψαι τὰ χωρὶς φλεγμονῆς ἐπισκοτοῦντα ταῖς κόραις.

18] Λιθόκολλα μίγμα οὖσα μαρμάρου ἢ λίθου λιπαροῦ καὶ ταυροκόλλης · δύναται δὲ περὶ πυρὶ τρίχας κολλᾶν.

19] Λίθος μελιτίτης ἡδύτητος καὶ θερμότητος μετείληφε · καὶ διὰ τὴν γεῦσιν οὕτως ὠνόμασται · ἐνεργεῖ δὲ ὁμοίως τῷ γαλακτίῳ.

20] Λίθος μοροξός, οἱ δὲ λευκογραφίδα καλοῦσι κατ' Αἴγυπτον γινομένην · τούτῳ χρῶνται λαμπρύνοντες τὰς ὀθόνας.

21] Λίθος μαγνήτης εἴτε ἡρακλείας · Ἄφροι χαζαρμές · παραπλησίαν ἔχει δύναμιν τῷ αἱματίτῃ, ξηραντικὴν καὶ ῥυπτικὴν καὶ ἑλκτικήν, ψυχράν, καὶ ξηρὰν τῆς β' τάξεως. Φασὶ δὲ χειραγροὺς ἢ ποδαγροὺς κρατοῦντας αὐτὴν ἀνοδύνως διάγειν. Βοηθεῖ δὲ καὶ σπασμοῖς. Ἄριστος δὲ ὁ τὸν σίδηρον εὐχερῶς ἕλκων, καὶ τὴν χρόαν κυανίζων · πυκνὸς δὲ καὶ οὐκ ἄγαν βαρύς · εὐεργεῖ δὲ εἰς ὅσα καὶ ἡ σκωρία τοῦ σιδήρου.

22] Λίθος νάξιος καὶ τὸ τῆς ναξίας ἀκόνης ἀπότριμμα ψυκτικῆς ἐστι δυνάμεως · ὅθεν καὶ μετ' ὄξους ποθὲν σπλῆνα ἀναιρεῖ · καὶ ἐπιληψίας ὠφελεῖ καὶ ποδαγρικοῖς μετὰ ῥοδίνου προσάγεται.

23] Λίθοι μέλανες, πλακώδεις, ἀσθενῆ φλόγα γεννῶντες, εἰ κατὰ πυρὸς ἐπιτεθεῖεν · οἱ ἐν τῇ Κοίλῃ Συρίᾳ πλησίον τῆς Ἱεριχῶ ἐν λόφῳ γινόμενοι, ἔνθα καὶ ἡ ἄσφαλτος γίνεται, ὅθεν καὶ τὴν ὀσμὴν τοιαύτην κέκτηται · ἐχρησάμην δὲ αὐτοῖς εἰς ἐμφύματα χρόνια ξηραντικοῖς καὶ κολλητικοῖς οὖσι.

24] Λίθος ὀφίτης ὁ μέν τίς ἐστι στιβαρὸς καὶ πιμελώδης, σποδοειδής, ὁ δὲ γραμμὰς ἔχων. Ἱστόρηται οὗτος λήθαργον καὶ κεφαλαλγίας ὠφελεῖν · καυθεὶς δὲ

1. ἄνησι I. — αἱμοπτοϊκοὺς I. Corr. conj. Les mss. de Galien et de Dioscoride adoptent généralement la forme αἱμοπτοϊκός.
3. Λ. κίσσηρις. Cp. Diosc., V, 124.
5. Λ. ἴασπις. Cp. Diosc., V, 153 (λίθος ὁ θυΐτης καλούμενος). Galien, *Fac. simpl.*, p. 198 : θυΐτης ὡς ἴασπις ὀνυχούμενος (?). (Notes de Kühn, Diosc., t. I, p. 816.)
8. Λιθόκολλα. Cp. Diosc., V, 163 : δύναται διὰ μηλωτίδος πεπυρωμένης τρίχας ἀνακολλᾶν τὰς ἐν ὀφθαλμοῖς.
10. Λ. μελιτίτης. Cp. Diosc., V, 150. — Voir aux Additions l'art. μελιτίτης des *Notha Dioscoridis.*
11. γαλακτίῳ] F. l. γαλακτίτῃ sicut apud Diosc.
12. Λ. μοροξός (vulgo μόροξος). Cp. Diosc., V, 151 (μόροχθος). Galien et Aétius : μόροξος.
14. Λ. μαγνήτης (μαγνίτης I). Cp. Diosc., V, 147.
18. ἄγαν] ἄγειν I. Correxi e Diosc.
20. Λ. νάξιος. Cp. Diosc., V, 167.
27. Λ. ὀφίτης (σοφίτης I). Cp. Diosc., V, 161. — σπονδοειδὴς I.
28. λίθαργον I.

καὶ ῥυπτικῆς καὶ θρυπτικῆς γίγνεται δυνάμεως · πινόμενος δὲ μετ' οἴνου λευκοῦ καὶ λέπτου τοὺς ἐν κύστει λίθους θρύπτει.

25] Λίθος ὀστρακίτης τὸ < ἐκ > τῶν κεραμίδων ῥυπτικῆς ἐστι δυνάμεως · καὶ μᾶλλον ὁ ἐκ τῶν κλιβάνων · σαρκώδης δέ ἐστι καὶ δύσχρηστος ὁμοίως ὀστράκῳ · ᾧ χρῶνται ἀντὶ κισσήρεως αἱ γυναῖκες πρὸς ἄρσιν τριχῶν · ἐπέχει δὲ καὶ τὰ καταμήνια πινόμενον σὺν οἴνῳ. Ἐὰν δέ τις ἐπὶ ἡμέρας δ' μετὰ τὸν ἄφεδρον πίῃ, ἀσυλληψίαν ποιεῖ · σὺν μέλιτι δὲ ἐπιτιθέμενος, μασθοὺς φλεγμαίνοντας ὠφελεῖ καὶ νομὰς ἵστησι.

26] Λίθος ὀστρακίτης ὁ ἐκ τῶν κλιβάνων ὀστράκων, ὃν ἡφαιστιάδα καὶ γάγον ὀνομάζουσι · κάλλιστόν ἐστιν ἐπουλωτικὸν φάρμακον.

27] Λίθος πυρίτης, ἀφ' οὗ ὁ χαλκὸς μεταλλεύεται · οὗτος δεύεται μέλιτι καὶ εἰς ἀνθρακίαν τίθεται · καὶ ῥιπίζεται συνεχῶς ἕως κιρρὸς γένηται · δύναμιν δὲ ἔχει θερμαντικήν, καθαρτικὴν καὶ συσταλτικὴν τῶν ὑπερσαρκούντων.

28] Λίθος σχιστὸς εἴτε ἀμίαντον γεννᾶται μὲν ἐν τῇ καθ' ἑσπέραν Ἰβηρίᾳ · ἄριστος δέ ἐστιν ὁ παρακροκίζων εὔθρυπτός τε καὶ εὔσχιστος · δύναμιν δὲ τὴν αὐτὴν τῷ αἱματίτῃ ἔχει.

29] Λίθος σμύρις τουτέστι τῆς σμύρνης · Ἄφροι σεμβεδίν · ἔστι δὲ λιπαρά, ἥτις ἀλφοὺς ἢ δακτύλους σμήχει, ῥυπτικῆς δυνάμεως οὖσα · χρησιμεύει δὲ καὶ εἰς σαπήματα οὔλων καὶ ὀδόντων σμῆξιν.

30] Λίθοι οἱ ἐν σπόγγοις εὑρισκόμενοι θρυπτικῆς δυνάμεώς εἰσιν, οὐ μὲν οὕτως ἰσχυρᾶς ὥστε τοὺς ἐν κύστει λίθους θρύπτειν, τοὺς δὲ ἐν νεφροῖς οἴνῳ ποθέντες.

31] Λίθος συριγγίτης ἐστὶ λεπτός, συριγγοειδής, διατετρωμένος, περὶ θάλασσαν εὑρισκόμενος καὶ ἐν πέτραις κεκολλημένος · ἀπαρτώμενος τοῦ πάσχοντος ἄκρως ἀναξηραίνει, κατορθοῖ τὰς σύριγγας. Τοῦτον οἱ κούρσορες εἴσω βουβώνων φοροῦσι.

32] Λίθος σεληνίτης, ὃν ἀφροσέλινον καλοῦσι, διὰ τὸ εὑρίσκεσθαι αὐτὸν ἐν τῇ σελήνῃ νυκτός. Οὗτος γεννᾶται ἐν Ἀραβίᾳ · λευκός, διαυγής, κοῦφος. Τούτου

1. πινόμενος ~ θρύπτει]. Cette phrase, moins complète chez Dioscoride (V, 162) s'y rapporte aux pierres trouvées dans les éponges.
3. Λ. ὀστρακίτης. Cp. Diosc., V, 164. — τὸ] F. l. ὁ.
4. σαρκώδης ~ δύσχρηστος] πλακώδης καὶ εὔσχιστος Diosc. f. mel.
7. ἐπιτιθέμενον I.
9. ἡφιστιάδα I. Correxi. Cp. Pline, *H. N.*, XXXVII, 60 : hephaestitis.
11. Λ. πυρίτης. Cp. Diosc., V, 142.
12. ῥυπίζεται I. — κιρρὸς] κυγρὸς I. Correxi e Diosc.
14. Λ. σχιστός. Cp. Diosc., V, 144.
15. περικροκύζων I. Correxi e Diosc.
17. Λ. σμύρις. Cp. Diosc., V, 165.
18. δακτύλους] F. l. δακτυλίους. ἥτις ~ σμήχει] ἢ τὰς ψήφους οἱ δακτυλιογλύφοι σμήχουσι. Diosc. — χρησίμη εἰς σήπτας (*alias* ὀπτὰ; f. l. σηπτὰ) καὶ καυστικά. Diosc.
20. Λίθοι etc.] Texte identique chez Diosc., V. 162.
23. F. l. διατετρημένος.
27. Λ. σεληνίτης. Cp. Diosc., V, 158.

τὸ ξέσμα εἰς πότον διδόασι ἐπιληπτικοῖς · φυλακτηρίῳ δὲ περιάμματι αὐτῷ αἱ γυναῖκες χρῶνται · δοκεῖ δὲ δένδρεσι προστεθεὶς καρποφορίας ἐμποιεῖν.

33] Λίθος σάπφειρος μετὰ γάλακτος ποθεὶς λεῖος ἰᾶται τὰς ἐντὸς ἑλκώσεις πάσας, καὶ < τὰς > ἔξω, καὶ ἱδρῶτας παύει · καὶ λεῖος τὰς ἐν γλώσσῃ διακοπὰς παύει · ξηραντικῆς δέ ἐστι δυνάμεως · ὅθεν πινόμενος τοὺς ὑπὸ σκορπίων πληγέντας ὠφελεῖ.

34] Λίθος σμάραγδος ὀπτηθεῖσα καὶ λεία μέλιτι ἀττικῷ μιγεῖσα ἀμβλυωπίας ἰᾶται, καὶ περιαπτομένη αἷμα ἐπέχει, ὁπόθεν ἂν τύχοι φερόμενον.

35] Λίθος συριακός, ὅν τινες κόλιθον καλοῦσιν · ἔστιν ἰσχυρὸς τὴν δύναμιν, ἐν τῇ Συρίᾳ τῆς Παλαιστίνης γινόμενος · λευκὸς μὲν τὴν χρόαν, εὔρυθμος δὲ τὸ σχῆμα, γραμμὰς ἔχων ὡς ἀπὸ τόρνου γεγονυίας · ὀνομάζεται δὲ ἰουδαικῶς καὶ τηκόλιθος · ἔστι δὲ τῶν ἐν νεφροῖς λίθων δραστήριος δι' ὕδατος θερμοῦ ποθείς · μετὰ δὲ μυρσίνου ἐλαίου ποδαγρικοῖς ἐπιχριόμενος βοηθεῖ. Ὁ δὲ Νεχεψώς φησι · Τρίψας τὸν τηκόλιθον μεθ' ὕδατος καὶ ποιήσας γλοίου λεπτοῦ πάχος, καὶ ἀποξυρίσας τὰς τρίχας, χρίε κύστιν καὶ αἰδοῖα, καὶ τήξεις τὸν ἐν κύστει λίθον.

36] Λίθος ὕαλος λεῖος πινόμενος μετ' οἴνου λευκοῦ καὶ λεπτοῦ τοὺς ἐν κύστει λίθους θρύπτει ἱκανῶς.

37] Λίθος φρύγιος ὁ ἐν Φρυγίᾳ, ᾧ οἱ βασιλεῖς χρῶνται · γεννᾶται δὲ ἐν Καππαδοκίᾳ · ἄριστος δέ ἐστιν ὁ ὠχρὸς καὶ μέσος καὶ βαρύς · ἔστιν δὲ δυνάμεως ξηραντικῆς καὶ στυπτικῆς. Τέλος.

1. φυλακτηρίῳ δὲ περιάμματι] φυλακτήριον δὲ περὶ ἅμματα I. Correxi e Diosc.
3. Λ. σάπφειρος. Cp. Diosc., V, 156.
9. κόλιθον] F. l. τηκόλιθον.
14. ἀποξηρίσας I. Correxi.
18. Λ. φρύγιος. Cp. Diosc., V. 140. — βασιλεῖς] βαφεῖς Diosc. f. mel.
19. καὶ μέσως βαρύς Diosc., mel.
20. Après avoir reproduit ce lapidaire, Iriarte ajoute : « Hac in descriptione vocabula quorumdam lapidum Agarenica sive Africana reperias; sed ea a juniori Excerptore sive explanationis gratia, sive eruditionis inserta sunt; neque opus continuo Dioscoridi, quod ad rei summam attinet, abjudicandum censeas. » Nous croyons Dioscoride personnellement étranger à la composition de ce lapidaire.

LE PSEUDO-HIPPOCRATE

ΕΡΜΗΝΕΙΑ ΠΕΡΙ ΕΝΕΡΓΩΝ ΛΙΘΩΝ. ΙΠΠΟΚΡΑΤΟΥΣ.

1] Λίθος ὁ κουράλιος. Μετ' οἴνου πινόμενος ἑρπετοδήκτοις βοηθεῖ. Ὁ βαστάζων αὐτὸν ἐν πολέμῳ ἀβλαβὴς μένει · καὶ φυλακτήριόν ἐστιν παντὸς κακοῦ, κινδύνου, πολέμου, θαλάττης, μαγιῶν. Σπλῆνα τήκει, φάρμακα φυλάττει, καὶ σάρκας ἀναπληροῖ, καὶ πᾶσίν ἐστιν ἠγαπημένος ὁ βαστάζων αὐτόν.

2] Λίθος ὁ ἀχάτης. Οὗτος δὲ λίαν ἐρυθρὸς τοῖς σκορπιοπλήκτοις ὠφελιμώτατος ἦν, καὶ τοὺς ψυχορραγοῦντας ἐπιτιθέμενος ὠφελεῖ. Φασίν τινες ὅτι ἐρωτικὸς ἦν, τίθησιν ἐπιθυμητὰς ἄνδρας τε καὶ γυναῖκας περιαπτόμενος. Θέλγει μὲν τὴν καρδίαν καὶ τῶν αἰτήσεων μὴ ἀποτυγχάνειν ποιεῖ · καὶ πρὸς πᾶσαν νόσον ἁπλῶς εὑρίσκεται χρήσιμος.

3] Λίθος αἱματίτης. Ὅπη ἂν προστριβεὶς αἷμα ἐργάζεται. Οὗτος μετὰ μέλιτος ἢ γάλακτος λειωθεὶς ὀφθαλμικὰς ὀδύνας ἰᾶται · ἐν χειρὶ κρατούμενος ἢ φορούμενος ἐν δικαστηρίοις νίκην ἐργάζεται, καὶ χαρίεντα ποιεῖ τὸν βαστάζοντα. Καὶ μεθ' ὕδατος πινόμενος ἰοβόλων ὠφελεῖ δήγματα.

4]* Σαφείρι. Ἔναι δυὸ λογίαις, εἶναι πλάβα, καὶ ἀπὸ κεῖνα ὅπου (f. 341 r.) σούρνου εἰς τὸ ἄσπρον · εἶναι χρεία νὰ εἶναι καθάριος, καὶ ἔναι λαμπρὰ κλόρου · καὶ νὰ ἐγνωρίσῃς ἂν ἔναι φίνα, καὶ ἔχει τὴν αὐτὴν βερτοῦδα, καὶ ὑγιαίνει ὅλα τὰ

2. Texte, inédit en majeure partie, tiré du ms. grec 2316 de la Bibliothèque nationale (H), fol. 340 v. Sur ce texte, tour à tour grec ancien et néo-grec, voir, dans la Préface, la notice des manuscrits. M. Émile Legrand a publié nos §§ 1, 2, 3, 4 et 6 dans sa *Bibliothèque grecque vulgaire*, t. II, p. XXIII. Le savant professeur de grec moderne à l'École des langues orientales vivantes nous a fait l'amitié de constituer et d'annoter la partie néo-hellénique du texte restée inédite et de reviser le texte ancien. — Nous ne mentionnons que les variantes importantes. — Les articles en néo-grec sont marqués d'un astérisque.

7. Οὗτος] ὄντως H.

8. ἦν, deux fois]. M. Ém. Legrand propose de lire le néo-grec εἶν'.

9. θέλγει] θέργει H. (Forme néo-grecque).

16. εἶναι] ἦνη H.

17. εἶναι χρεία νὰ εἶναι] ἦνε χρίανα ἦνε H. — νὰ est toujours écrit sans accent dans le manuscrit.

πρήσματα · καὶ ἔναι εἰς τὸν αἱματόπονον, νὰ τὴν βαστάζῃ ὁ καθεεὶς ἄνθρωπος καὶ παίρνει ὅλων τὸ κλόρε · καὶ ἔναι καλὸν εἰς ὅλες ταῖς ἀρρωστίαις τοῦ ἀνθρώπου.

5]* Ρουμπῆ. Ἔναι κόκκινον ὡσὰν νηστία, καὶ φέγγει εἰς τὰ σκοτεινὰ καὶ δέ το ὡσὰν τὸ σαφεῖρι, καὶ ἔχει τὴν σεβερδες (*sic*) ἀπ' ὅλες ταῖς πέτραις · ἔναι ἡ καλιότερα καὶ ἀφεντεύει ὅλες ταὶς πέτραις, ὡς ἂν ὁ Χριστὸς τὰ πάντα ὅλα.

6]* Μπαλάσιον. Ἔχει κλόρε ὡς ἂν τὸ κουκκὶν τοῦ ῥοδίου · ὄχι πολλὰ κόκκινον, οὐδὲ πολὺ ἄσπρη · ἀμὴ ἔναι καθάρια καὶ φωτεινή, καὶ φαίνεται ὡς ἂν τὸ σαφεῖρι; καὶ ἔχει τὴν αὐτὴν βερτοῦδαν εἰς τὸν δρωπικά, ὅπου ἔχει περίσσιον αἷμα, καὶ εἰς τὸν πόνον καὶ ἱλαρόνει πολλὰ τὸ πρόσωπον τοῦ ἀνθρώπου ὅπου τὸ βαστάζει.

7]* Σμελάτρον. Ἔναι πέτρα πράσινη καὶ οὐδὲν ἔναι κανέναν πρᾶγμαν πράσινον · καὶ ἂν ἔν' καὶ τὴν λίμα τὴν τζακίσῃς, οἱ λιμαδοῦρες ὅπου θέλουσιν εὐγῆ, ἂν εἶναι καλὰ πράσινες, ἔναι καλὰ φίνα · ἂν ἔν' καὶ ἔναι εὑρεσιμία, ἡ χαριστική, ἀξιάζει (?) καλιότερα · καὶ ἔχει τινὰ βερτοῦδε · ὁποῦ τὴν βαστάζει ἀπάνου του μεγιοράρει ὅλα του τὰ πράγματα · καὶ ἂν ἔναι ταχὺ ἔχει μέσα του τελέντο (f. 341 v.) καὶ τὴν ἡμέραν ἐκείνην μέσα του καλόν · καὶ ἀπὸ κακὰ γεύματα · καὶ ἂν ἔναι καὶ κανέναν παιδὶν μικρὸν ἢ μεγάλον τὴν βαστᾷ εἰς τὸν σφόντυλάν του οὐδὲν φοβᾶται δαιμονικόν.

8]* Τοπάτζο. Ἔναι πέτρα κιτρίνη εἰς τὸ κλόριν τοῦ ἀλεφαντίνου, ἔλλαμπρη, εἰς δὲ τὴν θεωρίαν ὡσὰν τὸ σαφεῖρι, καὶ ἔχει τὴν αὐτὴν χάριν. Ἔναι εἰς τοὺς ἀνθρώπους καλόν, ὅπου θέλου νὰ κρατοῦν · καὶ ἂν θέλῃς νὰ τὴν προβαρήσῃς ἂν ἔναι φίνα εἰς τὴν βερτοῦδα, βάλε τὴν εἰς ἕναν χάρκωμαν ὅπου νὰ βράζῃ, καὶ εἰς μίαν θέλει ἀποβράσῃ τὸ νερόν, καὶ ὥστ' ὅπου νὰ ἔναι ἡ πέτρα μέσα, οὐδὲν πόρῃ πλέον νὰ βράσῃ τὸ χάρκωμα, οἷον τὸ νερὸν ὅσι στίαν καὶ ἀβάλῃς.

9]* Γρανάτον. Ἔνε κόκκινη καὶ καθάρια, καὶ ἔχει ἔλλαμπρον κλόρε, καὶ δέ την εἰς τὸ λίμα, ὡσὰν τὸ σαφεῖρι · καὶ ἔναι καλὸν διότι κάμνει καθάριον πρόσωπον ἐκείνους ὅπου τὴν θεωροῦν. Καὶ ὅπου ἀρχίζει νὰ κάμνῃ σπίτιν νὰ τὴν βαστάζῃ ἀπάνω του θέλει κάμνῃ σπίτιν καλόν.

10]* Διασέτηνα. Ἔναι κόκκινη καὶ σκούρα, εἰς τὸ κλόρε ὡσὰν τὸ ζαφεῖριν · ὅπου τὴν βαστᾷ ἀπάνω του δίδει τοῦ κορμίου του καλόν, καὶ παίρνει ὅλους τοὺς πόνους.

11]* Διαμάντιν. Ἔχει κλόρε τοῦ σιδέρου, καὶ ἔναι καθαρὴ καὶ φωτεινή, καὶ εἰς τὸ κλόρε ὁλωνῶν τῶν καθαρῶν, ἔναι τὸ καλιότερο διαμάντιν, καὶ ἐνσκαράδον καὶ ποντάρισε ἕνα σίδερον, οὐδὲ το τζακίζει. (f. 342 r.) Ἂν θέλῃς νὰ τὸ προβαρίσῃς, δὸς τὸ ἀπάνω εἰς τὸ σίδερον, ἂν ἔναι καλὰ φίνα, καὶ ἔχει τὴν αὐτὴν χάριν. Ἔναι καλὴ εἰς τὰς γυναῖκας τὰς ἐγγαστρωμένας · νὰ τὴν βαστάζῃ οὐδὲν ἀποφαίνεται καὶ

1. ἔναι] ἔνε H, ici et partout.
6. ὄχι πολλὰ κόκκινον] ὄχη πόλα κώκινον H.
12. ἀξιάζει] ἐξηάζη H.
13. βερτοῦδε] μερτοῦδε H.
14. ταχὺ] F. l. τραχὺ? (C. E. R.).
23. F. l. ὅση στία καὶ ἀ βάλῃς (?).

ἐφελᾷ καὶ εἰς ὅλους τοὺς ἀνθρώπους. Ὅπου νὰ τὴν βαστᾷ εἰς πόλεμον, οὐδὲ τὸ ἄλογον πέφτει· μᾶλλον γίνεται γοργότερον· μᾶλλον γοργότερα νὰ τζακίσῃ κομμάτια.

12]* Τουρκέζον οὐδὲ ἄσπρη οὐδὲ πράσινη· ἔναι εἰς κλόρε τζελεστρίνα, καὶ ἔναι σπέσα, καὶ οὐδὲν λάμπει, καὶ δὲν το ὡσὰν τὸ σαφείριν· μὲ τὸ λίμα ἔναι καλὸν εἰς ὅλους ὅπου καβαλλικεύουν (= ἱππεύουσιν)· καὶ δὲν ἐμποροῦν να πέσουν, οὐδὲ τὸ ἄλογον κάμνει ἀδέξιον. Καὶ ὁ ἄνθρωπος ὅπου τὴν βαστάζει οὐδὲν φοβεῖται νὰ πάθῃ εἰς νερόν.

13]* Πατάστα. Ἔναι εἰς τὸ κλόρε τῆς βιόλας, ὅπου τὴν λέγουν φράγκικα βιόλα τζότα· ἔναι καθαρὰ καὶ ἔλλαμπρη ὡσὰν τὸ σαφείριν· καὶ ἔχει τίτοιαν βερτοῦδε· ὅπου τὴν βαστάζει ἀπάνου του οὐδὲν μεθύει ποτέ.

14]* Καντζεοτονή. Ἔναι πέτρα ἀδεγάδη εἰς πολὺ κλόρε, καὶ πολλὲς κοντετζιόνες, καὶ δέ το εἰς τὸ λίμα, ὡσὰν τὸ σαφεριν· καὶ ἔχει τοῖαν βερτοῦδεν· καὶ χαρίζει πλουσιότητες, καὶ πληθύνει τὰ καλά, καὶ δίδει μεγάλην καλοθέλιαν ἀπὸ ὅλους τοὺς ἀνθρώπους· καὶ θεωρεῖ ἀληθινὰ ὄνειρα ὅπου τὴν βαστάζει.

15]* Ἡ κιοτεγάτρα. Ἔναι πλέα ἄσπρον παρὰ πράσινον καὶ λάμπει καὶ δέ το εἰς τὸ λίμαν, ὡσὰν τὸ σαφείρι· καὶ ἔναι καλὸν (f. 342 v.) εἰς τὴν ἐγγαστρωμένην, ὁδιατὶ βαστόντ <ας το>, οὐδὲν γεννᾶται τὸ παιδίν, ἕως οὗ νὰ ἔλθῃ ὁ καιρός του, ἤγουν τῶν θ΄ μηνῶν.

16] Λίθος νευρίτης κατ' ἀλλήλων ὀνομάτων διδόμενος ἐν ποτῷ ἐπιθυμίας ἐπιτελεῖ, καὶ πρὸς μαντείας συμβάλλεται, καὶ εἰς δήγματα ἑρπετῶν τιθέμενος ὠφελεῖ· ὅμοιός ἐστιν χλοερῷ πράσῳ.

17] Λίθος ὁ χαλαζίτης φορούμενος τὰ μέλλοντα φανεροῖ τῷ βαστάζοντι, καὶ πυρετοὺς παύει, καὶ δήγματα βοηθεῖ.

18] Λίθος ὁ σμάραγδος βασταζόμενος ἐνεργεῖ πᾶσαν χάριν καὶ ἐπιτυχίαν, καὶ εἰ μὲν δοῦλος ὢν βαστάζων ἐλευθεροῦται· εἰ δ' ἄλλως, πολλῶν ἀγαθῶν κληρονόμος γενήσεται.

19] Λίθος ὑάκινθος ἐνεργείας ἔχει ὡς τοῦ σμαράγδου, ἀλλὰ καὶ ἔτι πλέον, ἀπὸ κλύδωνος θαλάσσης καὶ ἀφνιδίου κινδύνου ῥύεται τὸν βαστάζοντα.

20] Λίθος ὁ σπάνιος βασταζόμενος πολλὰ ἀγαθὰ ἐπιφέρει τῷ φοροῦντι.

21] Λίθος ὁ χαλκηδόνιος φορούμενος κυριεύει πάντων ἐχθρῶν. Ὁ φορῶν τιθέμενος ἔν τινι ἱματίῳ τὴν ἐπικειμένην ὕλην συλλέγει, καὶ ἐν γυναικείῳ ἀκίνδυνος μένει.

4. τζελεστρίνα] bleu de ciel? (C. E. R.)
6. καβαλλικεύουν] γαβαλτηκέβουν H.
7. πάθῃ] F. l. πέφτῃ.
18. ὁ διατῆ βαστόν τ... F. l. [ὁ] διατὶ βαστῶντας το οὐδὲν...
19. κατ' ἀλλήλων] κατελήων H. Cp. le § 30.
20. νευρίτης] F. l. νεβρίτης. — Voir ci-dessus, p. 171, l. 24, note.
22. ὁμοίως H.
26. εἰ δ' ἄλλως] εἴθ' ὅλως H. Corr. conj.
32. ἐπικυμένην ὅλην H. — κίνδυνος H. Corr. conj. Cp. p. suiv., l. 5.

22] Λίθος ὁ βαβυλώνιος, ὁ καὶ σαρδόνυξ, φορούμενος ἐν μεγάλαις δόξαις τιμᾶσθαι ποιεῖ τὸν φοροῦντα · εἰ δὲ ἐν τραύματι ἐπιτιθῇ, τάχιστα ἰᾶται αὐτό.

23] Λίθος τοπάζιον ὅμοιός ἐστιν κρυστάλλῳ · φορούμενος δὲ (f. 343 r.) πολλὴν ἀγάπην ποιεῖ ὑπὸ πάντων ἔχειν τὸν φοροῦντα, καὶ πολλῶν ἀγαθῶν κύριον, καὶ ἀκίνδυνος ἀπὸ παντὸς πονηροῦ μένει. Λειούμενος καὶ πινόμενος ὀξὺν τὸν νοῦν ἐμποιεῖ, καὶ εὐμαθῆ καὶ ῥητορικώτατον ἐν λόγοις. Καὶ πινόμενος πάλιν τοὺς μαινομένους καὶ μαινιῶντας σώφρονας καὶ πραεῖς ἐργάζεται.

24] Λίθος ὀνυχίτης μέλας μὲν ἔξωθεν, ἔσωθεν δὲ λευκός · φορούμενος δὲ εὐεξίαν καὶ εὐτεκνίαν ποιεῖ τοῦ φοροῦντος καὶ ἐνδοξοτάτην εὐημερίαν προξενεῖ, καὶ οὐκ ἐᾷ βλαβῆναι τὸν φοροῦντα αὐτὸν ἔν τινι πάθει.

25] Λίθος ὁ περιλεύκιος πινόμενος καὶ φορούμενος ἔνδοξον βίον ποιεῖ, καὶ πολλῶν πραγμάτων καὶ χρημάτων κύριος ὑπάρχει.

26] Λίθος σάμιος πινόμενος στόμαχον ὠφελεῖ, καὶ ὀφθαλμῶν ῥεύματα [τὰ] ἵστησιν σὺν γάλακτι · κρατούμενος δὲ ὠκυτόκιος γίνεται.

27] Λίθος κρύσταλλος τοὺς νεφραλγοῦντας περιδεθεὶς ἰᾶται.

28] Λίθος γαλακτίτης, ὁ καὶ ἀνακτίτης καὶ ἄνθεος λέγεται. Οὗτος φορούμενος καὶ ὁμιλῶν τοῖς ἐχθροῖς λήθην λαμβάνοντες τῶν κακῶν καὶ φίλοι ἀποκαθίστανται. Τριβόμενος καὶ ῥαινόμενος ἐν ποιμνίῳ πολὺ γάλα ἐργάζεται, καὶ γυναιξὶν ὁμοίως. Πάλιν ὁ βαστάζων αὐτὸν καὶ βασιλεῖς αἰδοῦνται (f. 343 v.) καὶ δικασταὶ καὶ δῆμοι, καὶ ἁπλῶς ἡδὺς καὶ περίδοξος τοῖς πᾶσι δοκεῖ. Ἁρμόζει δὲ καὶ πρὸς ῥεύματα ὀφθαλμῶν.

29] Λίθος εὐπέταλος, ὁ καὶ δενδραχάτης, δεσμούμενος ἐν τοῖς κέρασι τῶν βοῶν, τῷ τοῦ σπόρου καιρῷ ἢ καὶ τοῦ ἀροτρέως εὐφορίαν τῇ γῇ ἐκείνῃ ἐργάζεται καὶ πολυκαρπίαν.

30] Λίθος ἐλαφοκερατίτης, ὃς ὁμοιοῦται ἐλάφου κέρατι · τριβόμενος δὲ καὶ σὺν ἐλαίῳ χρισθεὶς φαλακρὸν κομήτην ἐργάζεται. Τριβόμενος καὶ κατ' ἀμφοτέρων πινόμενος ὀνομάτων ἔρωτα κατ' ἀλλήλων ποιεῖ, καὶ ἠγαπημένος διατηρεῖ μέχρι γήρως.

31] Λίθος ζαμπιλάμπης πινόμενος παρὰ γυναικὶ στείρᾳ εὐθὺς παιδοτόκον ποιεῖ, καὶ ἐν ἀμπέλῳ καὶ δένδρῳ ἀκάρπῳ ῥωννύμενος εὐφορίαν καὶ εὐκαρπίαν ποιεῖ.

32] Λίθος ἴασπις ἐνσπαρεὶς ταῖς ἀρούραις σὺν τῷ σπόρῳ πολλὴν εὐκαρπίαν

16. γαλακτίτος H. — ἄνθεος] F. l. λήθαιος (ΑΝΘΕΟC-ΛΗΘΑΙΟC). Cp. l'*Epitomé orphique*, § 2 du ms. B : οἱ δὲ λήθαιον ἀπεκάλεσαν.

17. λήθην] λίθων H. Peut-être faut-il corriger et compléter ainsi cette phrase d'après l'*Epitomé* : Οὗτος φορ. <ὁ φορῶν> καὶ ὁμιλεῖ τοῖς ἔχθροις <καὶ> λήθην λαμβάνοντας τ. κ. καὶ φίλους ἀποκαθίσταται. — Voir ci-après p. 202, l. 16.

20. ῥεύματι H.

22. δενδράχατος H.

27. καταλλήλων H. Corr. conj. F. l. κατ' ἀλλήλων. Cp. § 16.

30. ῥωννύμενος] F. l. ζωννύμενος. Cp. l'*Epitomé*, § 5 du ms. V (περιδεσμούμενος). M. Ém. Legrand propose ῥαινόμενος.

ποιεῖ, καὶ θυμιώμενος δαίμονας ἐξ ἀνθρώπου διώκει, καὶ εὐρωστίαν ποιεῖ τοῦ σώματος.

33] Λίθος ὁ λυχνίτης βασταζόμενος ἀπὸ κινδύνου πολλοῦ ῥύεται τὸν βαστάζοντα.

34] Λίθος ὀφιανὸς παρατριβόμενος τῇ ὄψει ἀρίστος διατηρεῖ αὐτὴν · ὀφθαλμοὺς καὶ τὸ πρόσωπον εὐειδὲς ποιεῖ καὶ χαλεπὰ τὰ πάθη ἴαται ἐπιπασσόμενος.

35] Λίθος ὁ χρυσόθριξ φορούμενος (f. 344 r.) εὐπρεπεῖς καὶ σεμνοὺς τοὺς φοροῦντας ποιεῖ καὶ πᾶσιν ἡδεῖς καὶ τιμῆς ἀξίους.

36] Λίθος μαγνίτης ὁ καὶ μαγνῆτις λέγεται · οὗτος ἐνέργειαν ἔχει διὰ τοῦ ἀέρος ἕλκειν τὸν σίδηρον πρὸς αὐτόν · εἰ γάρ τις αὐτὸν λάθρα ὑπὸ τὴν κλίνην θήσει, εἰ μέν ἐστιν γυνὴ καθαρὰ καὶ ῥυπαρίας ἀμέτοχος, εἰς ὕπνον τρέπεται καὶ τὰς χεῖρας ἁπλοῖ πρὸς τὸν ἄνδρα καὶ περιφύεται. Εἰ δὲ πόθοις ῥυπαροῖς καὶ ἀλλοτρίοις κατεχομένη, ἀφυπνώσασα καταπίπτει τῆς κλίνης. Ἀλλὰ καὶ δύο ταύτην ἀδελφῶν φορούντων πάσης ἔριδος αὐτοὺς ἀπαλλάττει καὶ φιλονεικίας, καὶ ὁμόνοιαν ἐμποιεῖ. Φερομένη δὲ καὶ < κατὰ > τοῦ στήθους μετὰ μεμυκότος καρποῦ παιονίας ἐπιτηδειοτάτη ἐστὶν πρὸς τὸ θέλξαι καὶ πεῖσαι λαόν.

37] Λίθος ὁ σιδηρίτης τριβόμενος καὶ ἐπιπασσόμενος ἑρπετῶν δήγματα ὀνίνησι. Φασὶ δέ τινες < ὅτι > ὁ φορῶν αὐτὸν κἂν πάντα τὰ ἑρπετὰ καὶ τὰ θηρία κατ' αὐτοῦ κινήσουσιν, ἀβλαβὴς μένει. Φασὶν δὲ καὶ < ὅτι > πινόμενος οὗτος μαντικὸν τὸν ἄνθρωπον ἐργάζεται · περιδεσμούμενος δὲ στεῖραν γυναῖκα παιδοτόκον ποιεῖ.

38] Λίθος ὀφίτης ἀντιφάρμακον ἦν σκορπίων καὶ ὄφεων καὶ ὀξυδερκίαν ποιεῖ καὶ κεφαλαλγίαν παύει καὶ βαρυηκοΐαν (f. 344 v.) καθαίρει · καὶ πινόμενος ἀφροδίσια παρορμᾷ · καὶ θυμιώμενος ἑρπετὰ διώκει.

39] Λίθος ὁ κορσίτης πινόμενος μετὰ μέλιτος καθαίρει τὰ ἐντὸς καὶ ὑδεριῶντας ὠφελεῖ καὶ φαρμακευομένους καὶ ἑρπετῶν καὶ κυνῶν δήγματα.

40] Λίθος γαγάτης. Οὗτος καπνιζόμενος ἑρπετὰ διώκει · τοὺς ὑπὸ τὴν ἱερὰν νόσον δαμαζομένους ὀσφραινόμενος ὠφελεῖ. Γυναῖκας αἱμορροούσας θυμιώμενος ὠφελεῖ. Ἰχῶρας καὶ πτύαλα πινόμενος ὠφελεῖ. Κεφαλαργίαν θεραπεύει καταπλασσόμενος. Πρὸς πόνον πινόμενος ὠφελεῖ. Εἰς πόνον ὀδόντων διαλυόμενος μετ' οἴνου ὠφελεῖ. Εἰς πόνον ὀφθαλμῶν μετ' οἴνου ὁμοίως. Εἰς ἀπόστημα μετ' οἴνου θετούμενος · εἰς ῥίγη περιαπτόμενος καὶ πινόμενος καὶ θυμιώμενος ὠφελεῖ. Ἑρπετὰ καὶ παντοῖαι ἐπιβουλαί... Πινόμενος παρὰ τῆς γυναικὸς ἐν τῇ καθάρσει σύλληψιν

4. ἀρίστος H. F. l. ἀρεστῶς (C. E. R.). F. l. ἀρίστως (Em. L.).
7. ἡδεῖς] ἡδὲς H.
10. εἰ μὲν] οἱ μὲν H.
14. κατὰ restitué d'après l'*Epitomé*, § 9 du ms. B. — μεμικότος] F. l. μεμυκότος?
17. κατ' αὐτῆς H.
20. ἦν] M. Em. Legrand propose εἶν'.
21. βαρυκείαν H. Corrigé d'après l'*Epitomé*, § 11 du ms. B.
28. πρὸς πόνον] manque le nom du lieu affecté.
29. θετούμενος (τού au-dessus de θε) H. F. l. ἠθούμενος.
30. ἑρπετὰ ∾ ἐπιβουλαί] Phrase incomplète. « Fugat serpentes » Pline, *H. N.* XXXVI, 34.

ἐνεργεῖ · καὶ δένδρα ἄκαρπα καὶ ἄμπελον ἐπιπάσσομενος ἐνεργεῖ. Πινόμενος μετ' οἴνου καθαίρει τὰ ἐντὸς ἀπὸ παντὸς ῥύπου καὶ πόνου. < Πρὸς > πᾶσαν αἱμορραγίαν. Καύσας τὸν λίθον ἀνάδευε ἐλαίῳ, καὶ ἐπίθες, καὶ ἰαθήσεται. Λέγουσίν τινες ὅτι οὗτός ἐστιν ὁ κοράλλιος λίθος.

41] Λίθος δενδρίτης. Οὗτος ὥσπερ δενδρῶδές (f. 345 r.) ἐστιν φυτὸν ἀπολιθούμενον οὐκ ἐν χέρσῳ φυόμενον, ἀλλ' ἐν τῷ πέλματι τῆς θαλάσσης, ἐρυθρὸς τῇ χρόᾳ λίθος. Δύναμιν δὲ ἔχει ξηραντικὴν καὶ μετρίως στυπτικήν. Ἁρμόζει γοῦν αἱμοπτοϊκοῖς καὶ δυσεντερικοῖς πινόμενος. Βασταζόμενος οὖν οὗτος μετά τινος πόας ἐν ἐλαφείῳ δέρματι, ὁ βαστάζων, πᾶσα πύλη αὐτῷ ἀνοιγήσεται · καὶ δεσμοὺς καὶ κλεῖθρα λύσει · ἄγρια θηρία αὐτῷ ὑποτάσσονται, καὶ πᾶσιν ἀνθρώποις ἔσται εὐάρεστος καὶ ἠγαπημένος, καὶ ὅπερ ἂν θέλῃ τεύξεται, καὶ ἡ βουλὴ περιγενήσεται αὐτῷ · ὁ γὰρ κλείσας τὴν νοσσιὰν τοῦ δενδροκολάπτου ἀσφαλῶς, φέρει τὸ εἰρημένον βοτάνιον, καὶ προσεγγίσας λύει τὰ κλεῖθρα · ὁ ταύτης ἐπιτυχὼν ποιήσει ἃ οὐκ ἔστιν λαλεῖν, ὡς οὖσα θειοτάτης φύσεως.

5. Sur l'art. δενδρίτης, cp. les *Cyranides*, l. I, lettre Δ, §§ 12 et 13. — Οὗτος] οὕτως H. — ἀπολυθούμενον H. Correxi.
6. τή χρόαι λίθω H.
7. αἱμοπτ. καὶ δυσ.] L'accusatif dans le ms.
9. αὐτοῦ H (néo-grec ?)
11. ὁ γὰρ] F. l. ὁ δὲ.
12. δενδροκαλύπτου H. — τὸν εἰρημένον βότανον H.

LAPIDAIRE NAUTIQUE

DIT D'ASTRAMPSYCHUS

Ὅσοι τῶν λίθων εἰς ἀνακωχὴν ζάλης καὶ τρικυμίας θαλάσσης.

1] Ἄνθραξ καὶ χαλκηδόνιος ἀπὸ παιδίου φορούμενος ναυαγήσαντας ὑποβρυχίους οὐκ ἐᾷ γενέσθαι.

2] Ἀδάμας καὶ ὁ γλαῦκος καλούμενος, ὁ ἐν Μακεδονίᾳ περὶ τὸ πάγιον ὄρος, ὃ χαλάζῃ ἔοικεν ἀποτρόπαιος μεγίστου κλύδωνος καὶ τυφῶνος· τὰ ὅμοια δὲ δύναται καὶ ὁ παρὰ Ἰνδοῖς εὑρισκόμενος ὁ τῷ εἴδει πυρρὸς καὶ ἀργυροειδής· κρείσσων δὲ ὁ σιδηρίζων.

3] (F. 64 r.) Βήρυλλος ὁ διαυγὴς καὶ λαμπρός, ὁ θαλασσόχρους· γλυφέσθω ἐν αὐτῷ Ποσειδῶν ἐφ' ἅρματι διπώλῳ βεβηκὼς καὶ ἐν τοῖς διὰ θαλάσσης ὁδεύουσιν ἀπήμων ταῖς ταραχαῖς ἔστω.

4] Δρύοψ, λίθος ἔχων τὸ μέσον λευκόν· ἁρμόζει καὶ αὐτὸς πρὸς εὔπλοιαν.

5] Κουράλιος σὺν δέρματι φώκης εἰς τὸ καρχήσιον τοῦ πλοίου περιαπτόμενος, ἀντιπάσχει ἀνέμοις καὶ κλύδωσι, καὶ ἀκαταστασίαις παντοίαις ὑδάτων.

6] Ὀφιόκοιλος λίθος γενόμενος ἐν τοῖς ὄρεσι τῆς Αἰγύπτου· ἔχων ἐν ἑαυτῷ φολίδας διεζωσμένας, καθάπερ ὀφέως κοιλία. Τοῦτον ἐάν τις ἔχῃ, ἀκίνδυνος ἐν ζάλῃ θαλάσσης διαφυλαχθήσεται.

3. Lapidaire anonyme publié par le cardinal Pitra, *Spicilegium Solesmense*, t. III, 1856, p. 393), sous le nom d'Astrampsychus, sans doute parce qu'il est placé dans les mss. après des textes précédés de ce nom ; — par Hermann Graf (*Mélanges gréco-romains*, Saint-Pétersbourg, 1859, p. 552). — Recollationné par P. Tannery, sur le ms. de Paris 2424 (xiv[e] siècle), fol. 100 v. (= *a*), et par nous sur les mss. 2421, fol. 63 v. (= *b*) et 2422 (xvi[e] s.) page 145 (= *c*).

4. χαλχηδώνιος *a*, *b*, *c*, Pitra.

6. πάγιον ὄρος] Πάγιον ὄ. Pitra. F. l. Ἅγιον Ὄρος (Ἄθως) ?

8. πυρὸς *a*, *b*, *c*.

10. βήρυλλος] Cp. Damigéron, art. XXXV. — θαλασσόχροος Pitra.

13. Δρύοψ] Ἀρύοψ *b*, *c*.

14. κουράλλιος Pitra. Cp. Damigéron, art. VII. Voir aussi l'*Epitomé du lapidaire orphique*, § 12 du Baroccianus. — χαλκήσιον mss., (forme byzantine?) καλχήσιον Pitra. Correxi.

16. ἀφιόκοιλος *a*.

7] Ὀφιανὸς λίθος μέγας οὐ λίαν, ἀλλ' ὑπόχλωρος, εὑρισκόμενος ἐν τῇ Φρυγίᾳ καὶ Γαλατίᾳ · ὃς καὶ πίσσα καλεῖται, διὰ τὸ προστριβόμενον αὐτὸν ὀσμὴν παρέχειν πίσσης. Χρήσιμος δέ ἐστι φορούμενος τοῖς κατὰ θάλασσαν καὶ ποταμοὺς τὴν πορείαν ποιουμένοις.

1. Ὀφιανός] Cp. Damigéron, art. XXV. | 4. ποιουμένους *a*.

S. ÉPIPHANE

I

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΠΙΦΑΝΙΟΥ

Ἐπισκόπου Κύπρου πρὸς Διόδωρον ἐπίσκοπον Τύρου περὶ τῶν ιβ' λίθων τῶν ὄντων ἐν τοῖς στολισμοῖς τοῦ Ἀαρὼν βιβλίον.

< ΠΡΟΛΟΓΟΣ >

Αἴτησας παρ' ἐμοῦ, τιμιώτατε Διόδωρε, περὶ τῶν ἐν τῷ λογείῳ τῆς ἐπωμίδος τοῦ ἱερέως ἐπὶ τοῦ στήθους Ἀαρὼν προστεταγμένων τότε ἐμπεπορπῆσθαι λίθων, τάς τε ὀνομασίας, τάς τε χρόας, εἴτ' οὖν ἰδέας τούς τε τόπους καὶ τὰς εἰς θεοσέβειαν φορούσας τῶν αὐτῶν λίθων θεωρίας, καὶ ἕκαστος λίθος ὑπὲρ ποίας φυλῆς ἐτέτακτο, πόθεν τε εὕρηται καὶ ποίας πατρίδος...

Τετραχῆ δὲ διαιρεῖται τὸ λογεῖον καὶ αὐτὸ τετράγωνον σπιθαμῆς τὸ μῆκος, καὶ εὖρος ὁμοίως. Τοῦ μὲν πρώτου στίχου πρῶτος λίθος σάρδιον, εἶτα τοπάζιον, εἶτα σμάραγδος.

Τοῦ δὲ δευτέρου στίχου πρῶτος λίθος ἄνθραξ, εἶτα σάπφειρος, εἶτα ἴασπις.

Τοῦ τρίτου στίχου πρῶτος λίθος λυγκούριον, εἶτα ἀχάτης, εἶτα ἀμέθυστος.

1. Première édition par Conrad Gesner, *De omni rerum fossilium genere, gemmis, lapidibus, metallis, et hujusmodi libri aliquot, plerique nunc primum editi.* Tiguri, excudebat Iacobus Gesnerus, MDLXV. Petit in-8. (C. G.) ; — reproduite par Denis Petau, *S. Epiphanii opera*, t. II, 1622, p. 225 (D. P.) ; — puis dans la *Patrologie grecque-latine* de Migne, t. XLIII, p. 294. — Voir dans la Préface l'article consacré à la lettre de S. Epiphane, conservée en majeure partie dans une vieille traduction latine anonyme, reproduite par Foggini, lettre dont ce texte grec n'est qu'un abrégé, réduit à son tour dans les *Quaestiones* de St. Anastase le Sinaïte, chap. 40, et dont Facundus, au VI[e] siècle, a cité le début. (*Pro defensione trium capitul. concilii Chalcedon. ad Justinianum imp.*, II, 4.)

4. περὶ τῶν ιβ' λίθων κ. τ. λ.] Voir *Exode*, XXVIII, 15.

7. λογείῳ] λογίῳ C. G. partout. Mot traduit dans la vulgate par *rationale* (λόγιον). Corrigé d'après le texte des Septante. Voir la note de Hase dans le *Thesaurus-Didot*, voce λογεῖον.

11. Note de C. G. : « Deest aliquid et sententia pendet. » — Traducteur latin anonyme (T. L.) : vel ex qua patria probentur. — Trad. de Facundus : et ex qua patria. F. l. καὶ <ἐκ> ποίας πατρίδος.

16. λιγύριον mss. ; λιγκύριον C. G. Correxi.

Τοῦ τετάρτου στίχου πρῶτος <λίθος> χρυσόλιθος, εἶτα βηρύλλιον, εἶτα ὀνύχιον.

Καὶ οὗτοι μέν εἰσιν οἱ ιβ´ οἱ ἐν τῇ ἐπωμίδι τοῦ ἱερέως ἐξηρτημένοι, ὧν καὶ <αἱ> διαφοραὶ καὶ οἱ τόποι οὗτοι.

1] Πρῶτος λίθος σάρδιος ὁ Βαβυλώνιος οὕτω καλούμενος· ἔστι δὲ πυρωπὸς τῷ εἴδει καὶ αἱματοειδής, σαρδίῳ τῷ ἰχθύϊ ταριχευμένῳ ἐοικώς· διὸ καὶ σαρδίος λέγεται ἀπὸ τοῦ εἴδους λαβὼν τὸ ἐπώνυμον. Ἐν Βαβυλῶνι δὲ τῇ πρὸς Ἀσσυρίαν γίνεται. Ἔστι δὲ διαυγὴς ὁ λίθος· δυνάμεως δὲ ἐστι θεραπευτικῆς, ᾧ κέχρηνται οἱ ἰατροὶ πρὸς οἰδήματα καὶ ἄλλας πληγὰς ὑπὸ σιδήρου γιγνομένας. Ἔστι δὲ καὶ ἄλλος σαρδόνυξ ὃς καλεῖται μολοχάς· μαλακτικὸς δέ ἐστι στεατωμάτων, τῆς δὲ αὐτῆς ἰδέας τυγχάνει ὑποχλωρίζων, ἐμβριθέστατος δὲ μᾶλλον παρὰ τὴν ἀρχὴν τοῦ ἔαρος, ὅτε ἡ ἀρχὴ τῶν Παθῶν.

2] Λίθος τοπάζιον, ἐρυθρὸς τῷ εἴδει ὑπὲρ τὸν ἄνθρακα· γίνεται δὲ ἐν Τοπάζῃ, πόλει τῆς Ἰνδίας, ὑπὸ τῶν ἐκεῖσέ ποτε λίθους λατομούντων, ἐν καρδίᾳ ἑτέρου λίθου ὃν οἱ λατομοῦντες θεασάμενοι φαιδρόν, καὶ ὑποδείξαντες ἀλάβαστρόν τισιν ἀπέδοντο ὀλίγου τιμήματος. Θηβαῖοι δὲ προσήνεγκαν τῇ κατ' ἐκεῖνον καιρὸν βασιλίσσῃ· ἡ δὲ λαβοῦσα ἐν τῷ αὐτῆς διαδήματι μέσον τοῦ μετώπου περιέθετο. Ἔχει δὲ ὁ λίθος δοκιμὴν τοιάνδε· τριβόμενος ἐν ἰατρικῇ ἀκόνῃ οὐκ ἐρυθρὸν ἀποδίδωσι κατὰ τὸ χρῶμα τὸν χυλόν, ἀλλὰ γαλακτώδη· ἐμπίπλησι δὲ κρατῆρας ὅσους ἂν θέλῃ ὁ ἀποτρίβων, καὶ τοῦ προτέρου σταθμοῦ οὐκ ἐλαττοῦται οὐδ' ὅλως. Χρησιμεύει δὲ καὶ ὁ ἐξ αὐτοῦ [οὗτος] χυλὸς πρὸς πάθος ὀφθαλμῶν· καὶ πινόμενος δὲ ἀντιπαθεῖ πρὸς ὕδρωπας καὶ τοῖς ἀπὸ σταφυλῆς θαλασσίας μαραινομένοις.

3] Λίθος σμάραγδος. Οὗτος καλεῖται καὶ πράσινος· ἔστι δὲ καὶ χλωρὸς τῷ εἴδει, καὶ διαφορά τις ἐν αὐτοῖς· τινὲς μὲν γὰρ αὐτοὺς νερωνιανοὺς καλοῦσιν, ἄλλοι δὲ δομετιανούς. Καὶ ὁ μὲν νερωνιανὸς πικρός ἐστι, τῷ εἴδει σφόδρα χλωρίζων, διειδὴς δὲ καὶ στίλβων. Καλεῖσθαι δὲ νερωνιανὸν εἴτ' οὖν δομετιανὸν διὰ τοιαύτην αἰτίαν, ὅτι φασὶν ἔλαιον Νέρωνα εἴτε Δομετιανὸν ἐν σκεύεσι βαλεῖν ἱκανοῖς, καὶ ἐκ τοῦ ἰοῦ τῷ χρόνῳ χλωραίνεσθαι τὸ ἔλαιον, καὶ ἐκ τούτου τὴν πέτραν ποτιζομένην περισσοτέρως ἐξανθεῖν τῇ χροιᾷ. Ἄλλοι δέ φασι Νέρωνά τινα τεχνίτην τῶν παλαιῶν πιναροποιῶν, εἴτ' οὖν λιθουργῶν ἐφευρεῖν τὸ ἀναγκαιότατον τοῦ σμαράγδου, καὶ ἐκ τούτου νερωνιανὸν καλεῖσθαι, οἱ δὲ δομετιανόν. Ἀλλὰ καὶ ἄλλοι εἰσὶ σμάραγδοι, ὁ μὲν πρῶτος ἐν τῇ Ἰουδαίᾳ πάνυ ἐοικὼς τῷ νερωνιανῷ, ὁ δὲ

7. ἐπώνομον edd. Correxi.

15. « Fort. ὡς ἀλάβαστρον ». C. G.

17. αὐτῆς edd. Correxi.

25. πικρός] C. G. propose de lire μικρός.

28. ἱκανοῖς Le traducteur latin, qui traduit Nicaenis, a dû lire νικηνοῖς. Voir Foggini.

30. πιναροποιόν C. G., D. P. fort. mel. — Foggini : « Quaenam est ars pinaria ? » Ce doit être l'art de teindre en vert. Cp. Berthelot et Ruelle, *Collection des alchimistes grecs*, II, IV, 12-14. — λιθουργὸν C. G., D. P., fort. mel.

ἕτερος ἐν τῇ Αἰθιοπείᾳ, ὃν καὶ ἐν τῷ Φεισσῶνι ποταμῷ λέγεται γεγενῆσθαι. Φεισσὼν δέ ἐστιν ὁ παρὰ τοῖς Ἕλλησιν Ἰνδὸς καλούμενος, παρὰ τοῖς βαρβάροις δὲ Γάγγης. Λέγουσι δὲ καὶ τὸν ἄνθρακα ἐν αὐτῷ γίνεσθαι · ἐκεῖ γάρ, φησὶν <ὁ Μωϋσῆς>, ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. Ἡ δὲ δύναμις, φασί, τοῦ λίθου, δηλάδη τοῦ σμαράγδου πρὸς τὸ ἐνοπτρίζεσθαι πρόσωπον. Λέγεται δὲ καὶ παρὰ τοῖς μυθοποιοῖς προγνωστικὸς εἶναι.

4] Λίθος ἄνθραξ. Οὗτος εἶδος ὀξὺ φοινίσσον ἔχει. Γίνεται δὲ ἐν Καρχηδόνι τῆς Λιβύης, ἥτις Ἀφρικὴ καλεῖται. Ἕτεροι δέ φασι τὸν λίθον τοῦτον οὕτως εὑρίσκεσθαι, οὐκ ἐν ἡμέρᾳ κατοπτευόμενον, ἀλλὰ κατὰ τὴν νύκτα πόρρωθεν δίκην λαμπάδος, ἢ ἄνθρακος σπινθηρίζοντος, καὶ ὡς μακρόθεν φαίνοντος, κἀκ τούτου ἐπιγινώσκοντες οἱ τοῦτον ἀνερευνῶντες ῥαδίως εὑρίσκουσιν αὐτὸν · βασταζόμενον δὲ ἀδύνατον διαλαθεῖν, ὁποίοις γὰρ ἂν ἱματίοις κατακρυβῇ ἡ ἀνταύγεια αὐτοῦ ἔξωθεν τῆς περιβολῆς φαίνεται, ὅθεν καὶ ἄνθραξ κέκληται. Ὀλίγον δὲ ὁ κεραύνιος λίθος παραπλήσιος τούτῳ, ὅτι καὶ ἐκ τοῦ αὐτοῦ τόπου εὑρίσκεται.

5] Λίθος σάπφειρος πορφυρίζων, ὡς βλάττης πορφύρας τῆς μελαίνης τὸ εἶδος. Πολλὰ δὲ γένη τούτου ὑπάρχουσιν · ἔστι γὰρ ὁ βασιλικός, χρυσοστιγής · οὐ πάνυ δὲ οὗτος θαυμαζόμενος ὡς ὁ διόλου πορφυρίζων. Καὶ οὗτος δὲ λέγεται εἶναι ἐν τῇ Ἰνδίᾳ καὶ Αἰθιοπείᾳ. Διὸ τὸ τέμενος παρὰ Ἰνδοῖς φασιν εἶναι τοῦ Διονύσου τξε´ ἀναβαθμοὺς ἔχον ἐκ σαπφείρου λίθου, εἰ καὶ τοῖς πολλοῖς ὑπάρχει ἄπιστον. Ἔστι δὲ θαυμαστὸς ὁ λίθος καὶ εὐειδέστατος καὶ χαριέστατος. Διὸ καὶ ἐν τοῖς χλιδῶσι καὶ ὁρμίσκοις κατατιθέασι τοῦτον, μάλιστα οἱ βασιλεῖς. Ἀλεξίπονος δέ ἐστι · τριβόμενος γὰρ καὶ φυδράκων καὶ φυμάτων γινομένας πληγὰς σὺν γάλακτι ἰᾶται χριόμενος τοῖς ἡλκωμένοις τόποις. Γέγραπται δὲ καὶ ἐν τῷ Νόμῳ τὴν τῷ Μοϋσεῖ ὀφθεῖσαν ὀπτασίαν ἐν τῷ ὄρει, καὶ δοθεῖσαν νομοθεσίαν ἐπὶ λίθου σαπφείρου πεφυκέναι λέγεται.

6] Λίθος ἴασπις. Οὗτός ἐστι τῷ εἴδει σμαραγδίζων · παρὰ δὲ τὰ χείλη τοῦ Θερμώδωντος ποταμοῦ εὑρίσκεται, καὶ περὶ Ἀμαθοῦντα τὴν ἐν Κύπρῳ. Ἀλλ' ἔστι γένος πολὺ καλούμενον ἀμαθούσιον · τὸ εἶδος τοιόνδε ἐστὶ τοῦ λίθου, κατὰ τὴν

1. F. l. Φισῶνι et infra Φισών sicut in LXX interpr.

3. ὁ Μωϋσῆς supplevi e T. L. Cp. Genèse, II, 12.

7. ὀξὺ φοινίσσον] ξυφοίνικον C. G. qui propose de lire φοινικοῦν ou ὀξυφοίνικος. *Epitomé* d'Anastase : ὀξυφοίνιστος. Le T. L. : Carbunculus habet speciem rubricae nimis acutissimae. Correction conjecturale. Lire peut-être ὀξυφοινίκου, mot synonyme de ὀποπάναξ, d'après un glossaire cité par le *Thesaurus* d'Henri Estienne, éd. Didot.

15. C. Gesner suppose que πορφύρας est une interpolation, mais βλάττη étant le mot latin *blatta* grécisé, il est plus probable que βλάττη est la glose de πορφύρας τῆς μελαίνης. Blatta, c'est la pourpre foncée.

18. τξε´ ἀναβαθμοὺς ἔχον] Cp. *Cyranides*, I, πρόλογος, § 8, ci-dessus, p. 5, l. 6.

23. ἐν τῷ Νόμῳ] *Exode*, XXIV, 18.

26. Θερμόδωντος] Le Thermodon, rivière du Pont qui se jette dans la mer Noire. Cp., sur le jaspe, Pline, *H. N.* XXXVII, 37. — τὴν] οὐ τοὺς Corr. proposée par C. G. Toutefois, on lit dans la vieille traduction lat. « Apud Amathunta, non quae in Cypro. » Il y avait une Amathonte en Palestine, mentionnée par Josèphe.

σμάραγδόν ἐστι χλωρίζουσα, ἀλλὰ ἀμβλυτέρα καὶ ἀμαυροτέρα · καὶ ἔνδοθεν χλωρὸν ἔχει τὸ σῶμα, ἐοικυῖα ἰῷ χαλκοῦ ἔχοντι φλέβας τετραστίχους. Ὡς δὲ τοῦτο ἠκούσαμεν εἶναι φαντασίας, ὡς οἱ μυθολόγοι λέγουσιν. Ἄλλη δέ ἐστι γλαυκοτέρα θαλάσσης, βαθυτέρα τῷ ἄνθει καὶ τῇ βαφῇ · ἄλλη δὲ ἐν τοῖς σπηλαίοις, ἐν τῷ ὄρει τῆς Ἴδης ἐν τῇ Φρυγίᾳ, ὁμοιάζουσα τῇ ἀπὸ τοῦ αἵματος κόχλου, διαυγεστέρα μᾶλλον, ὥσπερ οἴνῳ ὁμοιάζουσα ἢ ἀμεθύστου ξανθοτέρα · οὐ γάρ ἐστι μιᾶς χροιᾶς οὐδὲ τῆς αὐτῆς δυνάμεως · ἀλλ' ἡ μέν ἐστι χαυνοτέρα καὶ λευκοτέρα, οὔτε πάνυ στίλβουσα, οὔτε πάλιν ἀποδέουσα. Ἄλλη δὲ κρυστάλλου ὕδατι ὁμοία · λέγεται δὲ ὑπὸ μυθοποιῶν ἄκος εἶναι φαντασιῶν. Εὑρέθη δὲ παρὰ Ἴβηρσι καὶ ποιμέσιν Ὑρκανῶν τοῖς κατὰ τὴν Κασπίαν γῆν. Ἄλλη δὲ ἴασπις οὐ πάνυ λάμπουσα, χλωρά, ἥτις ἔχει γραμμὰς μέσας. Καὶ ἄλλος ἴασπις ὁ παλαιὸς καλούμενος ὅμοιος ἢ χιόνι ἢ ἀφρῷ θαλάσσης. Τοῦτόν φασιν οἱ μυθοποιοὶ τοὺς θῆρας ἐν ἀγρῷ φοβεῖσθαι, καὶ τὰ φάσματα.

7] Λίθος λιγύριον. Τούτου δὲ τὴν εὕρεσιν οὐδαμῶς ἔγνωμεν, οὔτε παρὰ φυσιολόγοις, οὔτε παρά τισιν ἀρχαίοις τοῖς περὶ τούτων μεμεριμνηκόσιν. Εὕρομεν δὲ λαγκούριον (*sic*) οὕτω καλούμενον λίθον, ὃν τινες τῇ τρανῇ διαλέκτῳ λαγούριον καλοῦσι · καὶ τάχα τοῦτο οἶμαι τὸ λιγύριον, ἐπειδὴ αἱ θεῖαι γραφαὶ τὰ ὀνόματα ἑτέρως μετεποιήσαντο, ὡς τὸν σμάραγδον πράσινον, καὶ ὅτι πως ἐν τῇ τῶν λίθων τούτων ὀνομασίᾳ οὐκ ἐμνήσθησαν καὶ ὑακίνθου, καίτοι γε προόπτου καὶ ἐντίμου ὄντος λίθου · ὥστε εἰς νοῦν ἡμᾶς λαβεῖν μήποτε τὸ λιγύριον τοῦτο καλεῖ ἡ θεία γραφή. Ὑάκινθος οὖν τὰς μὲν ἰδέας ἔχει διαφόρους · ὅσῳ γὰρ εὑρίσκεται ὁ λίθος βαθύτερος τῇ χροιᾷ, τοσοῦτον ἀναγκαιότερός ἐστι τῶν ἄλλων. Ἔοικε δὲ ὑάκινθος τῇ ἐρέᾳ ἢ ὑποπορφυρίζων πως. Διὸ καὶ ἡ θεία γραφὴ ἐξ ὑακίνθου καὶ πορφύρας τὰ ἱερατικὰ ἐνδύματα κεκοσμῆσθαί φησι. Καὶ ὁ μὲν πρῶτος λίθος καλεῖται θαλασσίτης, ὁ δὲ δεύτερος ῥοδινός, ὁ τρίτος νάτιβος · ὁ τέταρτος λέγεται χανιαῖος, ὁ δὲ πέμπτος περιλεύκιος. Εὑρίσκονται δὲ οὗτοι ἐν τῇ ἐσωτέρᾳ βαρβαρίᾳ τῆς Σκυθίας. Οὗτοι δὲ οἱ λίθοι μετὰ τοῦ εἶναι πολύτιμοι ἔχουσι καὶ ἐνέργειαν τοιαύτην · βαλλόμενοι εἰς ἄνθρακας πυρὸς αὐτὰ μὲν οὐ βλάπτονται, τοὺς δὲ ἄνθρακας

2. ἔχοντι] C. G. propose ἔχουσα, qui vaut peut-être mieux. — Ὡς δὲ τοῦτο ∿ λέγουσιν.] Rédaction proposée par C. G. : καὶ ταύτην ἄκος εἶναι φαντασμάτων οἱ μυθολόγοι λέγουσιν. Rédaction du T. L. : Delectantur autem phantasiae, id est speculationes huic insidere, sicut asserunt qui fabulosa commemorant. St. Jérôme. *Comment. in Isaiam*, XV, 54 : (Jaspis) alius est enim quo phantasmata fugari autumant. (Foggini.) F. suppl. Ὡς δὲ τοῦτον ἠκ. <φυλακτήριον> εἶναι <πρὸς> φαντασίας, ὡς κ. τ. λ.

14. λιγύριον mss. et edd. C. G. propose λυγκούριον. Foggini maintient la vulgate.

17. αἱ θεῖαι γραφαὶ] *Exode*, XXVIII, 19.

18. πως] πῶς mss. et edd. Correxi.

22. βαθύτερος] βαθὺς mss. et ed. Correction proposée par C. G. et confirmée par T. L. : colore profundior.

25. νάτιβος] In T. L. : alius oppalius. — νάτιβος] Cp. Nonius, ch. 16 : « Pullus color est quem nunc spanum vel nativum dicimus. » (Foggini.)

26. παραλεύκιος mss. et edd. Correxit Foggini ex T. L. Note de C. G. : περίλευκος in sequenti cap.

σβεννύουσιν · οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ εἰ λαβών τις τὸν λίθον ἐνειλίσσῃ ὀθόνῃ καὶ ἐπιθῇ ἐπ' ἄνθρακας πυρός, οὐδ' αὐτὴ ἡ καλύπτουσα ὀθόνη φλογίζεται, ἀλλὰ μένει ἀσινής. Λέγεται δὲ ὁ λίθος ταῖς τικτούσαις γυναιξὶν εἰς εὐτεκνίαν χρησιμεύειν · ἔστι δὲ καὶ φασμάτων ἀπελαστικός.

8] Λίθος ἀχάτης. Οὗτος ὑπελήφθη εἶναι περίλευκος καλούμενος, ὃς ὑπὸ τὸν ὑάκινθον εὑρίσκεται · θαυμαστὸς δέ ἐστι, τῷ εἴδει ὑποκυανίζων, ἔξωθεν περιφέρειαν λευκὴν ἔχων, μαρμάρου τρόπον ἢ ἐλεφαντίνου. Καὶ οὗτος δὲ περὶ τὴν Σκυθίαν εὑρίσκεται. Ἔστι δὲ ἐκ τούτων τῶν λίθων ἀχάτης χρῶμα ἔχων λέοντος. Τριβόμενος δὲ μεθ' ὕδατος καὶ χριόμενος ἐπὶ δήγματος θηρίου ἀποτρέπει ἰὸν σκορπίου καὶ ἐχιδνῶν καὶ τῶν τοιούτων.

9] Λίθος ἀμέθυστος. Οὗτος κατὰ τὴν αὐτοῦ περιφέρειαν φλογίζων ἐστὶ βαθέως · ἡ δὲ αὐτή ἐστι λευκοτέρα ἐκ τοῦ μέσου, οἰνωπὸν ἀποπέμπουσα εἶδος. Ἡ δὲ μορφὴ αὐτοῦ διάφορος · τάχα δὲ καὶ αὐτὸς ἐν τοῖς ὄρεσι γίνεται τῆς Λιβύης · ὁ μὲν γὰρ αὐτῶν ἐστιν ὑακίνθῳ καθαρῷ παραπλήσιος, ὁ δὲ ἀμφικόχλῳ. Γίνεται ἐν ταῖς ὄχθαις τῆς θαλάσσης τῆς αὐτῆς Λιβύης.

10] Λίθος χρυσόλιθος. Τοῦτόν τινες χρυσόφυλλον κεκλήκασι. Χρυσίζων μέν ἐστιν · εὑρίσκεται δὲ ἐν τῷ φρέατι διπέτρῳ παρὰ τὸ τεῖχος τῆς Ἀχαιμενίτιδος Βαβυλῶνος · τὴν γὰρ Βαβυλῶνα καὶ τὸ φρέαρ ἐκεῖνο Ἀχαιμενίτιδα καλοῦσιν, ὅτι, φασίν, ὁ πατὴρ Κύρου τοῦ βασιλέως Ἀχιμενεὺς ἐκαλεῖτο. Ἔστι δὲ καὶ χρυσόπαστος. Οὗτος στομαχικοῖς καὶ κοιλιακοῖς τριβόμενος καὶ πινόμενος ἰαματικὸς ὑπάρχει.

11] Λίθος βηρύλλιον γλαυκίζων μέν ἐστι, θαλασσοβαφής, ἔχων εἶδος καὶ τῆς ὑδαρεστέρας ὑακίνθου. Γίνεται δὲ περὶ τὸ τέρμα τοῦ ὄρους τοῦ καλουμένου Ταύρου. Εἰ δέ τις θελήσει κατ' ἀντικρὺ τοῦ ἡλίου τοῦτον ἀνακλάσαι, φαίνεται ὡς ὕελος κέγχρους ἔχων ἔνδοθεν διαυγεῖς. Ἄλλη δέ τις βήρυλλος ταῖς κόραις τῶν ὀφθαλμῶν τοῦ δράκοντός ἐστι παραπλησία. Ἔστι δὲ καὶ ἄλλη πάλιν ὁμοία κηρῷ · ἐφάνη δὲ αὕτη περὶ τὴν ἔξοδον τοῦ Εὐφράτου ποταμοῦ.

12] Λίθος τὸ ὀνύχιον. Οὗτος ὁ λίθος ξανθὴν πάνυ ἔχει τὴν χροιάν. Τέρπεσθαι δὲ τῷ λίθῳ τούτῳ φασὶ τὰς νύμφας τῶν βασιλέων ἢ καὶ πλουσίων ἀνδρῶν, αἵ τινες καὶ εἰς ἐκπώματα ἴδια ἀνατρεψάσασαι ἔχουσι τὸν λίθον τοῦτον. Εἰσὶ δὲ καὶ ἄλλοι ὀνυχῖται ὁμωνύμως καλούμενοι, οἵ τινες κηρῷ τῷ μελιχρόῳ εἰσὶ παραπλήσιοι · τινὲς δέ φασιν αὐτοὺς ἐξ ὕδατος στακτοῦ πεπῆχθαι. Ὀνυχίτας δὲ αὐτοὺς λέγουσι

7. C. G. prop. ἐλέφαντος.

14. ἀμφικόχλῳ mot inconnu, simplement noté dans le *Thesaurus* d'H. Est. éd. Didot, d'après ce passage. C. G. propose αἵματι κόχλου, comme plus haut (p. 196, l. 5).

19. Ἀχιμενεὺς] C. G. prop. Ἀχαιμένης. — Χρυσόπαστος] C. G. prop. χρυσόπρασος. Le T. L. : Chrysopasus, et, en marge du ms. de Foggini : chrysoprasus.

23. ἀνακαλέσαι mss. ; et edd. Correction prop. par C. G.

29. ἐκπτώματα mss. pocula T. L. Correction de C. G.

31. στακτοῦ] ἀτάκτου mss. et edd. Correxi e T. L. : ex guttis aquae.

φυσιολογικῶς, ἐπεὶ ὁ ὄνυξ τῶν ἀστείων ἀνδρῶν μαρμάρῳ ἐστὶ συνιδιαζόμενος σὺν τῇ τοῦ αἵματος ἰδέᾳ · ἄλλοι δέ που καὶ τὸν λίθον τὸν μαρμάρινον ἀπὸ τοῦ Δοκιμίου ψευδωνύμως ὀνυχίτην καλοῦσι διὰ τὸ καθαρὸν τῆς λευκότητος.

La suite manque dans le texte grec. Elle se trouve, incomplète elle-même, dans la vieille traduction latine.

II

ΠΕΡΙ ΤΟΥ ΑΔΑΜΑΝΤΟΣ ΛΙΘΟΥ

Ὃν καὶ αὐτὸν ἐφόρει ὁ ἀρχιερεὺς τρὶς ἐνιαυτοῦ εἰσερχόμενος εἰς τὰ ἅγια τῶν ἁγίων.

Ὁ λίθος ὁ ἀδάμας ἐμφερής ἐστι κατὰ τὴν χροιὰν τῷ ἀέρι · τοῦτον δὲ ἐφόρει ὁ ἀρχιερεὺς ὅτε εἰσήρχετο εἰς τὰ ἅγια τῶν ἁγίων · τρὶς δὲ τοῦ ἐνιαυτοῦ εἰσήρχετο, τῇ ἑορτῇ τοῦ πάσχα, τῆς πεντεκοστῆς, καὶ τῆς σκηνοπηγίας. Ἦν δὲ κείμενος ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως ὅτε ἐνεδιδύσκετο τὸν ποδήρη, καὶ ἐπάνω τοῦ ποδήρους ἐπενεδύετο τὴν ἐπωμίδα · κατέβαινε δὲ ἡ ἐπωμὶς ὀλίγον κατώτερον τοῦ στήθους · ἦν γὰρ σπιθαμῆς καὶ ἡμισείας τὸ μῆκος · ἐκ δεξιῶν δὲ καὶ ἐξ εὐωνύμων ἐπάνωθεν τῶν μαζῶν, ἔνθα δύο ἀσπιδίσκοι ἦσαν συνερραμμένοι ἀπῃώρηντο δύο σμάραγδοι. Εἰς μέσον δὲ τούτων ἦν ἡ δήλωσις, ὃς ἦν ὁ δηλωθεὶς ἀδάμας τὴν χροιὰν ἀερίζων. Ἐπάνω δὲ τῶν ὤμων οἱ δηλωθέντες δώδεκα λίθοι. Τρὶς δέ, ὡς εἴρηται, τοῦ ἐνιαυτοῦ ἐδηλοῦτο τῷ λαῷ διὰ τοῦ πετάλου. Καὶ εἰ ἐν ἁμαρτίᾳ εὑρέθησαν, καὶ μὴ ἐν ταῖς ἐντολαῖς ἃς ἐδεδώκει ὁ Θεός, ἐτρέπετο, φασίν, ἡ χροιὰ τοῦ λίθου καὶ ἐγένετο μέλας, καὶ ἐκ τούτου ἐγίνωσκον ὅτι θάνατον ἐξαπέστειλε Κύριος · ἡνίκα δὲ ἐν μαχαίραις αὐτοὺς ἔπεμπεν, ἐγένετο αἱμάτινος, ὡς ἐν τῷ Ἱερεμίᾳ φησίν. « Ἐξαπόστειλον τὸν λαὸν αὐτοῦ, καὶ ἐξελθέτωσαν ὅσοι εἰς θάνατον εἰς θάνατον, ὅσοι εἰς μάχαιραν εἰς μάχαιραν, καὶ ὅσοι εἰς λιμὸν εἰς λιμόν, καὶ ὅσοι εἰς αἰχμαλωσίαν εἰς αἰχμαλωσίαν. » Εἰ δὲ ἐγίνετο ὡσεὶ χιὼν λαμπρός, ἐγίνωσκεν ὁ λαὸς ὅτι οὐδα-

1. συνεδιαζόμενος edd. C. G. prop. συνδιαζόμενος (lire συνδιαζώμενος) vel ὁμοιαζόμενος. Foggini, d'après Saumaise citant un ancien ms., prop. συνερυθριαζόμενος. (Cp. dans le T. L. : obrubescit.) Notre corr. est conjecturale.
3. δοκιμίου edd. Correction de Foggini. (Docimium, ville de Phrygie mentionnée par Étienne de Byzance.)
7. Foggini doute que ce morceau soit de S. Epiphane. Il ne figure pas textuellement dans la vieille traduction latine, mais la comparaison de cette traduction avec le texte grec donne lieu à quelques rapprochements, comme on le verra dans les notes ci-après. Au surplus, la vieille traduction se termine par les mots « cetera desiderantur ».
14. Réd. du T. L. (p. 54) : Oportebat autem, et si capere non poterat (smaragdus), dextros sinistrosque distingui, et ideo in utroque lapide, posito in dextra scilicet et sinistra, conscripta sunt nomina, etc.
21. Jérémie, XV, 1-2.

μου ἁμαρτία, καὶ τότε ἑώρταζον, ὡς λέγει ὁ προφήτης. « Ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τὰς εὐχάς σου ». Περιεῖλε Κύριος τὰ ἀδικήματά σου · λελύτρωκέ σε ἐκ χειρὸς ἐχθρῶν σου · βασιλεύσει Κύριος ἐν μέσῳ σου · οὐκ ὄψῃ κακὰ οὐκέτι. Διὸ καὶ ἐπὶ Ζαχαρίου τοῦ πατρὸς Ἰωάννου ἐν τῇ ἐφημερίᾳ αὐτοῦ ἐν τῷ πάσχα, λαμπρὸς ἐγίνετο ὁ λίθος · τότε γὰρ ἀρχὴν ἔλαβε τοῦ ἱερατεύειν τὸν ἐνιαυτόν, καὶ τῷ ἐπιόντι ἕτερος ἀνελάμβανε τὸν ποδήρη · ὅτε καὶ βραδύνοντος τοῦ Ζαχαρίου εἰς τὰ ἅγια τῶν ἁγίων ἐν ἀγωνίᾳ ἦν ὁ λαός, μήποτε ἔσται ὁ λίθος αὐτοῖς ἐλεγμὸς ἁμαρτίας. Καὶ ἐξελθόντος αὐτοῦ, καὶ γνόντες ὅτι μεγάλης δόξης ὀπτασίαν ἑώρακεν, ἐχάρησαν σφόδρα. Ἰωάννης γὰρ ἦν μέλλων γεννᾶσθαι ὁ ἄγγελος τοῦ Χριστοῦ. Διὸ καὶ δεδοξαμένον τὸ πέταλον ἐφάνη.

Ἐπειδὴ δὲ κατὰ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ οἱ δώδεκα λίθοι οὗτοι προσετάχθησαν ἐγκαταλεχθῆναι, ὡς εἶναι ἕνα λίθον πρὸς μίαν φυλὴν ἡρμοσμένον, ἐλευσόμεθα κατὰ τὴν προτέραν διαίρεσιν ἐπὶ τὴν ἀκολουθίαν τῶν γεγενημένων υἱῶν τοῦ Ἰακὼβ · οὕτω γάρ ἐστιν ἁρμόδιον συντάττειν αὐτούς.

Παῖδες Λείας δ'. Ῥουβήν, σάρδιον · Συμεών, τοπάζιον · Λευί, σμάραγδος · Ἰούδας, ἄνθραξ.

Παῖδες Βαλλᾶς β'. Ἡ Βαλλὰ παιδίσκη ἦν τῆς Ῥαχήλ · καὶ ἐπεὶ οὐκ ἔτικτε, δίδωσι τῷ Ἰακὼβ αὐτὴν γυναῖκα πρὸς τὸ ποιῆσαι παῖδας · εἰσὶ δὲ οὗτοι Δάν, σάπφειρος · Νεφθαλείμ, ἴασπις.

Παῖδες Ζελφᾶς β'. Ἡ Ζελφὰ παιδίσκη ἦν τῆς Λείας · καὶ δίδωσι τῷ Ἰακὼβ < αὐτὴν > γυναῖκα πρὸς τὸ ποιῆσαι παῖδας · εἰσὶ δὲ οὗτοι · Γάδ, λιγύριον · Ἀσήρ, ἀχάτης.

Παῖδες Λείας β', Ἰσάχαρ, ἀμέθυστος · Ζαβουλών, χρυσόλιθος.

Παῖδες Ῥαχὴλ β', Ἰωσήφ, βηρύλλιον · Βενιαμίν, ὀνύχιον.

Οὗτοί εἰσιν οἱ ἡρμοσμένοι δώδεκα λίθοι καθ' ἑκάστην φυλὴν τοῦ Ἰσραήλ.

1. Nahum, I. 15.
10. πέταλον] πέπλον mss. Correction proposée par C. G.
12. ἐγκαταλεχθῆναι] C. G. prop. ἐγκατακλεισθῆναι.
15. Le T. L. énumère d'abord dans le même ordre qu'ici les fils de Jacob, avec le nom de leurs mères, mais sans indiquer les gemmes à eux assignées ; puis il passe en revue treize autres dispositions (divisiones) constatées dans l'Écriture Sainte, dont Foggini a noté les références.
24. T. L. (p. 49) : ...onychinum lapidem duodecimum invenimus positum atque novissimum, ita ut Beniamin in contemplatione sui modis omnibus adtrahat. Undecimum vero invenimus beryllum quem et undecimo Joseph tam juxta numerum quam juxta contemplationem consequenter aptavimus.



MICHEL PSELLUS

ΨΕΛΛΟΥ

ΠΕΡΙ ΛΙΘΩΝ ΔΥΝΑΜΕΩΝ

Κεφάλαιον α´. Αἰτιολογίσασθαι μέν σοι τὰς ἐν τοῖς λίθοις δυνάμεις οὐκ ἂν τολμήσαιμι, οὐδὲ μιμήσομαι κατὰ τοῦτο τὸ μέρος τῶν δογματικῶν τὴν προπέτειαν, δυνάμενος ἀφ' ἑκάστου πολλὰ εὑρεσιλογεῖν. Ἑκάστης δὲ τῶν διεγνωσμένων ἡμῖν λίθων καὶ ἃς μάλιστα ἀγαπῶμεν οἱ ἄνθρωποι τὰς ἐνούσας δυνάμεις ἀνακαλύψω σοι, ἵνα ἐν καιροῖς αὐτοῖς χρῷο καί τινα ὠφέλειαν καρπίζοιο παρ' αὐτῶν · καὶ ἵνα τὰς ἀγνώστους ἡμῖν λίθους ἐάσω τὸν ὀνοκάρδιον καὶ τὴν ὁλκάδα, καὶ τὸν σπογγίτην, τόν τε λειμωνιάτην, καὶ τὸν λύγκουρον, τόν τε τριγλίτην, καὶ τὸν τριόφθαλμον, καὶ τὸν σακόδιον καὶ συριγγίτην, καὶ τὸν σχιστόν, καὶ ὅσοι τοιοῦτοι, ὧν τὰ ὀνόματα μόνον ἴσμεν, οὐ μέντοι γε αὐτοῖς ἐντυγχάνομεν, ἀπὸ τῶν γνωριμωτέρων ἡμῖν ἀπάρξομαι.

Κεφ. β´. Αὐτίκα ὁ ἀδάμας · χροιὰν μὲν οὗτος ἔχει ὑελίζουσαν καὶ στιλπνήν, κραταιός τέ ἐστιν καὶ δύσθραυστος · ἡμιτριταίους πυρετοὺς σβέννυσιν ἐξαρτώμενος.

Κεφ. γ´. Ὁ αἱματίτης · ὀνομάζεται δὲ οὕτως, ὅτι βρεχόμενος ὕδατι αἱματώδη χροιὰν ἀφίησιν · ὀφθαλμίας ἴαται μεθ' ὕδατος ἐγχριόμενος.

Κεφ. δ´. Ἡ ἀμέθυσος ὑακινθώδης μέν ἐστι τὴν χροιάν, ἴαται δὲ καὶ κεφαλαλγίας, καὶ τοὺς πίνοντας οἶνον φυλάττει νήφοντας, ὅθεν αὐτῷ καὶ τοὔνομα.

Κεφ. ε´. Ὁ ἄνθραξ ἐν Ἰνδοῖς μὲν ἔχει τὴν γένεσιν · ἔστι δὲ ἄνθραξιν ἐμφερής,

2. Reproduit d'après L. Ideler, *Physici et medici graeci minores*, t. I, Berlin, 1841, p. 244-247, et collationné par nous sur le manuscrit 1630 de la Bibliothèque nationale (Z). — Voir, dans la Préface, l'article consacré à ce texte.

10. λιγγούριον Maussac. F. l. λυγκούριον.

11. σοκόνδιον Z. F. l. σακόνδιον. Cp. Pline, *H. N.* XXXVII, 40, où on lit *sacondion*. Cp. Méliténiote (ci-après p. 208), vers 1184.

14. μὲν om. Z, f. mel.

17. ἐγχριώμενος Ideler, d'après Maussac. Nous corrigeons les leçons fautives.

18. Ἡ om. edd., Z habet.

καὶ ὁ μέντοι ἐστὶ τηλεφεγγής, ὁ δὲ βραχύ τι μελάντερος · φοινικίζει δὲ πρὸς ἥλιον καθορώμενος · εὑρίσκεται δὲ ἐν ὄρεσιν ἀντιλάμπων ταῖς ἀκτῖσι ἡλιακαῖς καὶ ποικιλλόμενος μέν. Τοῦτον οἱ λιθογνώμονες ἴσασι, οὐ μήν γε καὶ τὰς δυνάμεις αὐτοῦ μεμαθήκασιν, εἰ μὴ μόνον τὸν ἀνθρακίτην τὸν παρὰ Θεσπρωτοῖς γενόμενον, ἔλαττον τὸ πυραυγὲς ἔχοντα, κεφαλαλγίας ἰᾶσθαί φασι παρὰ τῷ κάμνοντι θυμιώμενον.

Κεφ. ϛ′. Ὁ ἀχάτης · ἔστι δὲ ποικίλος τὴν χροιὰν καὶ διηγλαϊσμένος · καὶ ὁ μὲν πάρωχρος, ὁ δὲ φοινικόχρους ἢ σαρκοειδής. Ὀφθαλμῶν ῥεύματα καὶ κεφαλαλγίας ἰᾶται, ἐπέχει δὲ καὶ ῥοῦν γυναικῶν καὶ τῷ ὑγρῷ ὕδρωπι ἀντίθετός ἐστι καὶ τοσοῦτον αὐτῷ τὸ περιὸν τῆς ξηραντικῆς δυνάμεως ὡς καὶ ὕδωρ ἀναπίνειν δύνασθαι καὶ κενὸν ἄγγος ποιεῖν.

Κεφ. ζ′. Ὁ δὲ βήρυλλος · τρεῖς δὲ τούτου τοῦ λίθου μορφαί · καὶ ὁ μὲν αὐτῶν ἐλαιοβαφής ἐστι τὴν χροιάν, ὁ δὲ θαλάττῃ προσεοικώς, ὁ δὲ λαμπρὸς τὰς αὐγὰς καὶ ὁμοφυὴς καὶ λάμπων πόρρωθεν. Οὗτος οὖν ὁ λίθος ἐντάσεις ἰᾶται καὶ σπασμοὺς καὶ ὀφθαλμῶν ὀδύνας καὶ ἴκτερον.

Κεφ. η′. Ὁ γαλακτίτης ἀπορρήτῳ βρύει γάλακτι, ἔνθεν γὰρ αὐτῷ καὶ τοὔνομα · κατασπᾷ δὲ γάλα ταῖς γυναιξί · λήθην δὲ ἐργάζεται τῶν κακῶν καὶ μνήμην τῶν καλῶν · ἀντίθετος δὲ ἐστὶ καὶ θηρίων πληγαῖς περίαπτος γεγονώς.

Κεφ. θ′. Τὸ ἤλεκτρον · ἔστι δὲ τὸ μὲν Ἰνδικόν, τὸ δὲ Λιγυστικόν · οἰκειοῦνται δὲ αὐτὰ καὶ Σκύθαι καὶ Αἰθίοπες · γίνεται δὲ παρὰ τὸν Ἠριδανὸν ποταμόν. Ἔνιοι δὲ καὶ δάκρυον αὐτό φασι δένδρου τινός · κοῦφον γάρ ἐστι καὶ θυμιᾶται ὡς ὁ λιβανωτὸς καὶ ἡ μαστιχή. Ἰᾶται δὲ δυσουρίαν περιαπτόμενον καὶ πυρετὸν ἀπαλλάττει καὶ στομάχου ῥεῦμα ἵστησι, καὶ τοῖς ὀφθαλμοῖς δὲ ἐγχριόμενον ὀξυδορκίαν χαρίζεται.

Κεφ. ι′. Ἡ ἴασπις φύσει κρυσταλλοειδής, ὀλίγου ἐπιτεινομένη τὴν χροιάν · καὶ ἀρίστη μὲν ἡ πορφυροῦσα, δευτέρα δ' ἡ φλεγματικωτέρα καὶ παράλευκος · ἔστι δέ τις καὶ ἀεροειδής · ἀναστέλλει δὲ ῥεύματα κεφαλῆς καὶ τοὺς ἐφιάλτας ἀπωθεῖται, καὶ λοιμικοῖς ἀντιτάττεται πάθεσι καὶ ἐπιληπτικοῖς. Ἔστι δέ τις ἴασπις καὶ σμαραγδίζουσα, ἥδε ἐμφερὴς χίονι, καὶ ἄλλη ἐμφερὴς ἄρνου ἐγκεφάλῳ, ἧς οὔπω οὐδεὶς ἐγνώκει τὴν δύναμιν.

Κεφ. ια′. Ὁ ἰδαῖος δακτύλος ἐν Ἴδῃ τῆς Κρήτης γίνεται, καὶ ἔστι τὸ σχῆμα δακτύλῳ ἀνδρὸς ἐμφερὴς τῷ ἀντίχειρι, τὴν χροιὰν σιδηρόχρους · οὗτος ὁ

1. Il faudrait : καὶ μέντοι ὁ μέν ἐστι...; Le manuscrit de Maussac porte καὶ ὁ μέν τοσ..; καὶ ὁ μέντοι τίς ἐστι Z, mel. — Verba φοινικίζει ∾ καθ. restituit Z.
2. ποικιλλόμενος μέν]. La phrase nous paraît inachevée.
9. περιὸν] Melius παριὸν (Maussac).
18. Λιβυτικόν] Λιβυστιόνα Maussac; Λιβυστικὸν Z, f. mel. — F. l. οἰκειοῦται.
19. Verba αὐτὰ ∾ γίνεται δὲ om. edd., restituit Z.
21. καὶ ἡ μαστίχη Z.
25. καὶ παράλευκος] καὶ restituit Z.
27. καὶ σμαρ.] καὶ restituit Z.
28. ἥδε Z; ἡ δὲ Ideler, f. mel.

λίθος δικαιότατος πάντων τῶν λίθων ἐστί · τὰς μὲν γὰρ ἐκ τῶν δικαίων μίξεων γενομένας σπορὰς τελειοῖ, φθείρει δὲ τὰς ἀθεμίστους καὶ παρανόμους.

Κεφ. ιβʹ. Ὁ κρύσταλλος ἔοικε μὲν ὕδατι καθαρῷ, ἐγκαεὶς δὲ ὑπὸ ἡλίου χροιὰν ἀμεθύσου μεταλαμβάνει, ἐπὶ δὲ τὸ βαθύτερον τραπεὶς ἰάσπιδι γίνεται ὅμοιος. Οὗτος τρόμους ἀπερύκει καὶ ἐκλύσεις νεύρων ἀνατριβόμενος.

Κεφ. ιγʹ. Ὁ λυχνίτης · ἔστι δὲ ὁ μὲν ὀστρακώδης, ὁ δὲ διαυγάζει. Ἰᾶται δὲ νυκτάλωπας ἀρτηθεὶς ἀπὸ τοῦ τραχήλου, ῥεύματά τε ἐπέχει ὀφθαλμῶν ἐν λινῷ ῥάκει περιτιθεὶς τῷ μετώπῳ.

Κεφ. ιδʹ. Ὁ μαγνίτης λίθος ἐστὶ μέλας καὶ βαρὺς καὶ ἀνώμαλος, καὶ ὁ μέν τις ἐπισπᾶται τὸν σίδηρον, ὁ δὲ ἀναπτύει · ἀναλυόμενος δὲ γάλακτι ὀξυδορκίαν ποιεῖ καὶ μελαγχολίαν ἰᾶται.

Κεφ. ιεʹ. Ὁ ὄνυξ εὐμεγεθής ἐστι, ὥστε τοὺς Ἰνδοὺς πόδας κλίνης ἐντεῦθεν τορεύειν · διαρθεὶς δὲ πρὸς αὐγὴν παντοίαν ἀναφέρει χροιάν, ἢ γὰρ ἀνθρακώδη, ἢ μέλαιναν, ἢ σαρκοειδῆ · ἀναλυθεὶς δὲ ἐπέχει φαντασίας νυκτερινάς, ὀδοῦσί τε ῥευματιζομένοις παρατριβόμενος ὠφελεῖ.

Κεφ. ιςʹ. Ὁ σάπφειρος ἵστησι ῥεύματα ὀφθαλμῶν μετώπῳ περιαφθείς. Ἑλκώσεις ἰᾶται ποθεὶς μετὰ γάλακτος · ξηραντικός τέ ἐστιν καὶ στυπτικὸς καὶ πυρετοῖς ὀξέσιν ἀντίθετος.

Κεφ. ιζʹ. Σαρδόνυξ. Ἡ λίθος αὐτὴ μέσην ἔχει γραμμὴν λευκήν · ἔστι δὲ μονόχρως. Ὀφθαλμῶν ἵστησι ῥεύματα καὶ διεζωσμένη τοὺς τῶν ἐμβρύων ἐπέχει ὀλίσθους. Ἡ δὲ ποικίλη ὠφελεῖ μελαγχολικοῖς ἐξαρτωμένη.

Κεφ. ιηʹ. Ὁ σεληνίτης. Καλεῖται δὲ οὕτως ὅτι ὀφθαλμὸν οἷόν τινα ἔχων συναυξόμενον τοῦτον καὶ συμμειούμενον ταῖς τῆς σελήνης αὐξήσεσι καὶ μειώσεσι δείκνυται.

Κεφ. ιθʹ. Ἡ σμάραγδος πρασοειδής ἐστι καὶ ἠρέμα χρυσίζουσα, καί τι καὶ τοῦ γλαυκοῦ παρεμφαίνουσα χρώματος. Γεννᾷ δὲ ταύτην καὶ Αἰθιοπία καὶ Αἴγυπτος καὶ Περσὶς καί τινα ὄρη τῆς Ἀττικῆς. Αὕτη καταπλαττομένη μεθ᾽ ὕδατος ἐλεφαντικοῖς βοηθεῖ, πινομένη δὲ μεθ᾽ ὕδατος αἵματος ἐπέχει ῥοάς.

Κεφ. κʹ. Ὑάκινθος. Τοῦτον τίκτει μὲν ἡ Ἴνδων <γῆ> · ἔστι δὲ θαλαττόχρως · ἰᾶται δὲ πνευματώσεις καὶ ῥήγματα, μελαγχολίαν τε παύει σὺν ὄξει ποθείς.

Κεφ. καʹ. Χρυσόλιθος ἀντίθετον σχῆμα ποιεῖ πάθεσιν ὀφθαλμῶν.

2. ἀθεμίτους Z.
6. Verba ὁ μὲν ὀστρ. ∾ Ἰᾶται δὲ om. edd., restituit Z. Boissonade (*Not. et extr. des mss.*, t. X, p. 241) avait signalé cette addition.
9. Μάγνης Z. — μέγας edd. ; corr. Z.
17. τε] γὰρ edd. ; corr. Z.
27. ὄρη om. edd., restituit Z. — ἐλεφαντικοῖς] F. l. ἐλεφαντιακοῖς.
29. Maussac a écrit Ἰνδία, mais propose en note d'ajouter γῆ, ce que nous faisons. Il dit de son manuscrit : « Membrana habet simpliciter Ἰνδῶν. »
31. ἀντίθετον χρῆμα πᾶσι πάθησι (pour πάθεσι) Z, f. mel. (Boissonade.)

Κεφ. κβʹ. Χρυσήλεκτρος. Οὗτος φορούμενος περὶ τράχηλον σβέννυσι πυρετούς.

Κεφ. κγʹ. Χρυσόπρασος. Οὗτος περὶ τοὺς καρποὺς φορούμενος παρέχει ὀξυδορκίαν, στόμαχόν τε ἰᾶται < καὶ > καρδιαλγοῦντας καὶ λύει ἐμπνευματώσεις.

Κεφ. κδʹ. Χαλαζίας. Λευκός ἐστιν οὗτος καὶ στερεὸς καὶ κρυστάλλῳ μικρῷ ἐοικώς. Περιαρτώμενος δὲ ἰᾶται σκορπίων πληγάς.

Κεφ. κεʹ. Τοπάζιον λίθος ἐστὶ διαφανής, ὑέλῳ παρεμφερής· φύεται δὲ εἰς τὸν Ἀραβικὸν λεγόμενον κόλπον ἔν τινι πελαγίᾳ νήσῳ, καὶ ἡμέρας μὲν οὐχ ὁρᾶται, κρύπτει γὰρ αὐτοῦ τὸ φέγγος ἥλιος, νυκτὸς δὲ διαλάμπει πόρρωθεν. Καὶ τραχὺς μὲν εὑρίσκεται καὶ ἀνώμαλος, τεχνικοῖς δὲ ὀργάνοις λεαίνεται. Οὗτος μαινομένους ἀποκαθίστησι τριβεὶς καὶ ποθείς· δρᾷ δὲ τὰ αὐτὰ καὶ περίαπτος.

Κεφ. κϛ. Τούτων δὲ τῶν παρὰ τοῖς λίθοις δυνάμεων αἰτίας πολλοὶ ἐθάρρησαν ἀποδοῦναι, τῶν μὲν ἀρχαιοτέρων σοφῶν Ἀναξαγόρας καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος, τῶν δὲ οὐ πολὺ πρὸ ἡμῶν ὁ ἐκ τῆς Ἀφροδισιάδος Ἀλέξανδρος, ἄνθρωπος περὶ πάντων ἁπλῶς εἰπεῖν καὶ τῶν ἀπορρήτων τῆς φύσεως προχειρότατος. Σοὶ δὲ ἀποχρῶσα ἔστω ἡ ἑκάστου τῶν λίθων δύναμις καὶ ἐνέργεια· τοὺς δὲ λόγους αὐτῶν καὶ τὰς αἰτίας παρὰ τοῖς ἄνω θησαυροῖς ἔασον.

2. τοῖς κάρποις Z, f. mel.
3. Maussac supplée καὶ dans sa traduction.
14. Ἀφροδισίας edd.; corr. Z.

MÉLITÉNIOTE

EXTRAIT DE SON POÈME ALLÉGORIQUE SUR LA TEMPÉRANCE

ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΗ͂ ΚΑΙΝΗ͂ ΤΑΥΤΗΣ ΟΝΤΩΝ ΠΑΝΤΟΙΩΝ ΛΙΘΩΝ

Ms. 1720. Fol. 109 v. Εἶχεν ἡ κλίνη γύρωθεν πολλὰς τὰς ἁρμονίας
Διὰ χρυσοῦ διαφανοῦς πάσας ἐσκευασμένας·
Εἰς ἑκατὸν γὰρ ἁρμογὰς ὑπῆρχεν ἡρμοσμένη
Χρυσοκολλήτους λίθους τε πολλοὺς καὶ πλείστους λίαν,
Τοπάζιον, ὑάκινθον, ἄνθρακα καὶ λυχνίτην,
Σάπφειρον, σαρδονύχιον, σμάραγδον καὶ νυχήτην,
Χρυσόλιθον, ἀδάμαντα, κοράλλιον, ἀχάτην,
Πάλλιον καὶ μηδίκειον, μαγνήτην, σιδηρίτην,
Ἀγ. υτήν, περιλεύκιον, κεγχρίτην, αἱματίτην,
Τακτώριον, βηρύλλιον, σάρδιον, γαλακτίτην,
Ἀμέθυσον καὶ κρύσταλλον, ἴασπιν καὶ θυΐτην,
Ἀμίαντον τὸν κύπριον, ἀργυροδάμαντά τε,
Ἀραβικὸν καὶ ἄσσιον ὁμοῦ καὶ σεληνίτην,
Μόροχθον, Ἰουδαϊκόν, μεμφίτην τὸν ἐκ Μέμφης,

1. Voir, dans la Préface, l'article consacré à Méliténiote.

2. Poème tiré du ms. 1720 de la Bibliothèque nationale, fol. 101 v., par Emm. Miller et publié dans les *Notices et extraits des manuscrits*, t. XIX, 2e partie (1858). Nous avons collationé de nouveau ce manuscrit.

ταύτης] Scil. κόρης. Il s'agit de la jeune vierge qui, dans le poème, personnifie la tempérance, laquelle réside au Paradis. Le fragment que nous reproduisons est une description de son lit et des pierres précieuses dont il est orné.

Vers 1120. σμ. καὶ νυχήτην]. « Il faut peut-être lire σμ., ὀνυχίτην. » (Emm. Miller.) Toutes les notes placées ainsi entre guillemets sont empruntées à ce savant.

1122. « Ms. πάλιον pour ὀπάλλιον ». — Nous proposons Ὀπάλλιον καὶ μηδικόν.

1123. ἀγ.υτήν] Mangeure de ver ayant supprimé une lettre. Miller a lu ἀ...την. « Il faut ici, dit-il, un mot de trois syllabes, peut-être γαγάτην, que le poète ne mentionne pas. Voy. Diosc., V, CXLV. »

1124. Τακτώριον] Voyez ci-dessus, p. 167, l. 4.

1127. ἄσιον ms. Correxit E. M.

Πυρίτην μολυβδοειδῆ καὶ ξένον ὀστρακίτην,
Σάμιον καὶ ἀράβιον, σχιστόν, ἀστρώτην θεῖον,
Φρυγίοναν, ἀχάτην τε καὶ < τὸν > ἀρωματίτην,
Ἀντιπαθήτην κράτιστον καὶ μέγαν ἀναγκίτην,
Ἀνθρακίτην περίφημον, ἀστρίτην, ἀντιζώην,
Ἀσπηγάτην, ἀγήτην τε καὶ λίθον ἀφιδνάνην,
Εὐπλόκαμον Ἀφροδίτην, σχόντα τὴν κλῆσιν οὕτως,
Καὶ λίθον ἄλλον ἄψυκτον, ἀφροδισιακόν τε
Ἕτερον λίθον ὀφθαλμὸν οὕτω πως κεκλημένον,
Καὶ βῶλαν, βαλανίτην τε, βάπτην καὶ βατραχίτην,
Βῆλον, βοκάρδιον ὁμοῦ καὶ μέγαν βοτρυΐτην,
Καὶ βοστρυχίτην ἐν ταὐτῷ βρονταῖον, γαιανίδαν,
Γαλλαϊκὸν καὶ τράχηλον γεράνου ξένον λίθον,
Γασυνδανῆ, γοργόνιον καὶ γαλαξίαν ἄλλον,
Δενδρίτην δῆλον, δαφνικὸν μετὰ τῆς γαλσοπέτρας,
Διάδοχον καὶ διφυῆ καὶ δενδραχάτην μέγαν,
Διωνησία ἔλυθρα, δροσόλιθον, δρυΐτην,
Ἐλαιακόνην, ἔνυδρον μετὰ τοῦ δρακοντίου,
Εὐόρχην καὶ ἐγκάρσιον, ἐξέβαινον τὸ κρεῖττον,
Ἑξηκοντάλιθον ὁμοῦ καλούμενον αἰδοῖον,
Ἐρώτυλον, ἐρυθαλῆ, βακτριανὸν εὐμήκην,
Εὐμίθρυν τε, τὸν εὐσεβῆ τε λίθον, ἐπιτάλλον,
Εὐρήν, εὐχήτην θαυμαστόν, ζαμπιλάμπην, ζανθήνην,
Ζαγάνην καὶ καλούμενον ἄλλον ἡλίου λίθον,

1130. ἀστρώτην] « Probablement pour ἀστροΐτην. » (E. M. renvoie à Pline, *H. N.*, XXXVII, XLIX.) — Toutes les citations de Pline se rapportant à ce livre de l'*Histoire naturelle*, nous en supprimons l'indication dans les notes suivantes.

1131. « Je lirais φρύγιον, αἱμαχάτην. » E. M. renvoie à Galien, t. XII, p. 201 et à Pline, *H. N.*, chap. LIV.

1132. ἀνεγκίτην ms. Corr. proposée par E. M.

1133. ἀντιζώην] E. M. renvoie à Pline, *H. N.*, LIV, où il propose de corriger *atizoen* en *antizoen*.

1134. ἀσπιγάτην] « Je corrigerais ἀσπιλάτην. Voy. Pline, *ibid.* » — ἀγήτην] « Il faut lire αὐγήτην ou plutôt αὐγίτην (voy. Pline, *ibid.*). »

1135. E. M. renvoie à la *Veneris gemma* de Pline, *H. N.*, XL.

1137. ὀφθαλμόν, <ἀμπέλου>. Pierre citée dans Marbode, 49, dit E. M., sous le nom d'*ophthalmias*.

1140. γεανίδαν ms. Corr. proposée par E. M.

1143. γαλσοπετρας] « Lisez γλωσσοπέτρας. Pline, LIX. »

1145. « Je lirais διονυσίαν ἐρυθράν. Pline, LVII, etc. »

1147. « Lisez ἔνορχιν — ἐγκάρδιον — ἐξέβενον. »

1149. ἐρώτηλον ms. (Corr. prop. par E. M.) — ἐρυθαλῆ] « Peut-être l'*eristalis* de Pline, LVIII. »

1150. « Lisez εὐμίθρην. Pline, *l. c.* » — ἐπιταλλον.] Miller propose ...λίθον, εὐπέταλόν τε, d'après Pline, *l. c.*

1151. εὐρην] Miller conjecture εὐνὴν « répondant à l'*eunéos* de Pline, *l. c.* » — εὐχήτην] F. l. εὐχαίτην. Cp. dans Hermès, ἱερὰ βίβλος περὶ δεκανῶν, 3e décan du Cancer. — ζαμπηλάμπην ms. — ζανθήτην ms.

Ἄλλον ἡλιοτρόπην τε ἕτερον ἡπατίτην,
Θηλύρριζον καὶ θράκιον, ἡλικτόν, ἡφαιστίτην.
Καὶ θηλυκάρδιον καλὸν καὶ λίθον ὀσπαλάτην,
Ἰδαῖον δάκτυλον τινὰ οἷον ἱερακίτην,
Καδμίαν καὶ τηρίαν τε, ἡρίτην ἰδηκόν τε,
Καλλαΐδα, καλλαϊνόν, καπνίτην, καρκινεῖον,
Καὶ καππαδόκιον ὁμοῦ καὶ λίθον κατοχήτην,
Καὶ τρίτην καρχηδόνιον καὶ κατοπτρίτην ξένον,
Κομίτην καὶ κεράμιον καὶ μέγαν κεραμίτην,
Κνηκίτην, κηραχάτην τε κίναιδον καὶ κισσίαν,
Κηρόν, κοραλαγχίτην τε λαμπρὸν κηροειδῆ τε,
Κροκίαν, καρτερίτην τε μετὰ τῆς κορκαλίδης,
Κυρίτην καὶ λεπιδωτὸν καὶ λεοντοδερίτην,
Λέσβιον, λευκαχάτην τε, λευκοποικίλον ἄλλον,
Λιβυκὸν δίχροον ὁμοῦ καὶ τρίχροον ὁμοίως,
Λειμωνιάτην, λύγγουρον, λυγοῦμερ, λιπαραῖον,
Λιπαρινὸν καὶ μάρμαρον, μελίχροον καὶ ἔφθα,
Μεμνόνιον καὶ μήδιον, μηκωνιάτην ἅμα,
Μιθράξιν δὲ καὶ μόροχθον καὶ λίθον μυρθυκίτην,
Καὶ μυρσινίτην φαεινόν, νασμίτην, ναρκισσίτην,
Νωρίτην, νίλειον, νοκράν, νιπάριον, ὀρείτην,
Ὄμβριον, ὀνορκάδιον, ὁρμίσκιον, ὀστρίτην,

1155. ὀσπαλάτην] « Peut-être l'*aspilatis* de Pline, LIV. »

1157. « Dans καὶ τηρίαν faut-il voir une corruption d'un mot commençant par un κ ou lire καὶ τυρίαν? » — Le mot τε qui suit exclut cette dernière conjecture. — ἡρίτην] « Probablement κηρίτην. » Toutefois on trouve κυρίτην (pour κηρίτην ?) au vers 1165. ἰδηκόν τε] « Lisez ἰνδικόν τε. »

1158. καλαϊνὸν ms. ; καλλαϊκὸν Miller.

1160. « Les mots καὶ τρίτην cachent peut-être le nom d'une pierre » καιτρίτην ms. F. I. κεδρίτην? (Cp. δενδρίτην, δρυίτην, φοινικίτην, etc.)

1161. κεράμιον] « Peut-être κεραύνιον. Pline, LI, *ceraunia.* » — κεραμίδην ms. Corr. prop. par E. M.

1162. κνηκίτην] « Peut-être le *cepitis* de Pline, LVI. Il faudrait lire alors κηπίτην. » Si on retenait κνηκίτην, ce mot viendrait de κνῆκος, carthame. — Cp. κνίκιτος dans le « *Livre sacré* » d'Hermès sur les 36 décans, 31[e] décan. (Camerarius, *Astrologica.*) — κηραχώτην ms. Corr. prop. par E. M.

1163. κηρὸν] « Peut-être κιρκὸν, qui serait le *circos* de Pline, *ibid.* » — Lisez κοραλλαχάτην » — κηροειδῆ] « Je lirais κορσοειδῆ. Dans le lapidaire inédit κορσίτης. » (Cp. ci-dessus, p. 171, l. 12.)

1164. ... « Il faudrait lire κορκαλλίδος. »

1171. μηθράξιν ms. Corr. prop. par E. M. — μυρθυκίτην] « Peut-être μυρμυκίτην pour μυρμηκίαν. »

1172. συρσινίτην ms. — ἀρκισίτην ms. Corrections de Miller.

1173. νορκὰν] « Lisez ὀλκὰν. Pline, LXV... Les anciens mss. portaient *orca.* »

1174. ὀνορκάδιον] ms. Miller a lu ὀνορμάδιον et propose avec raison ὀνοκάρδιον. — ὄβριον ms. — ὁρμίσκιον] « Peut-être est-ce la véritable leçon au lieu de *hormision* donné par Pline, LX. »

Ἕτερον ὀδοντοειδῆ, παχνίαν, ὀστρακίαν,
Ὀψιανόν, παιδέρωτα, πάγγανον, παρδαλίτην,
Πανέραστον, πολύζωνον, πολύτριχον, πιστρίτην,
Πολιόν, σαγδά, ποντικόν, ῥοδοειδῆ καὶ σάνδην,
Πυρροποίκιλον κάλλιστον, σανδάστηρον, σαρδίτην,
Καὶ σαρδαχάτην κραταιὸν ὁμοῦ καὶ σαρδαμίτην,
Σαρκίτην, πανσπανόπολιν, σκόρπητα καὶ σπογγίτην,
Σιδηροποίκιλον ὁμοῦ σμαραγδοχίτην, τάνην,
Σύρτιδα καὶ συνόδοντα καὶ στεατίτην κρεῖττον,
Καὶ συριγγίτην καὶ σχιστόν, σοκόνδιον, τριγλίτην,
Τηκόλιθον, τριόφθαλμον, ὑόφθαλμον, φυκίτην,
Ὑαίνιον καὶ φλογισμόν, αἴνεμον φοινικίτην,
Χλωρίτην, χαλκοσμάραγδον, χαλκόφωνον τὸν μέγαν,
Καὶ χαλαζίαν θαυμαστὸν καὶ χερονίτην θεῖον,
Χρυσόπρασον, χρυσήλεκτρον καὶ λίθον χοασπίτην,
Χρυσοειδῆ τὸν δυνατὸν καὶ μέγαν χρυσολάμψιν,
Καὶ μελανίζοντα σφοδρῶς τῇ χρόᾳ δαιμονίτην,
Ὃν φέρων εἰς δακτύλιον ὁ Σολομῶν ὁ μέγας
Τὰς τῶν δαιμόνων φάλαγγας ὑπέταξε θεόθεν·
Καὶ λίθων ἄλλων διαυγῶν καὶ ξένων θεωρίας,
Ἃς ἀκριβῶς γινώσκουσιν οἱ συγγραφεῖς τῶν λίθων,
Ὡς τὰς αὐτῶν ποθήσαντες διδάξαι θεωρίας,
Καὶ τὴν ἐνέργειαν αὐτῶν δεῖξαι φανερωτάτην.

1175. ἕτ. ὀδ.] « Peut-être l'*odontolycius* de Damigéron, XVIII. Le mot παχνίας m'est inconnu. »

1177. πιστρίτην Miller. Nous croyons lire πετρίτην dans le ms.

1179. F. l. πυροποίκιλον. Granit rose(?) Voir *Thesaurus linguae graecae*, éd. Didot, voce πυροποίκιλος.

1181. πανσπανόπολιν]... « Je lirais καὶ σπαν... et peut-être σπαρτόπολιν, qui serait le *spartopolis* de Pline, LXXIII. On trouve cependant σπάνιος dans le lapidaire inédit cité plus haut. « (Cp. Socrate et Denys, ci-dessus, p. 175, l. 11.)

1182. Miller conjecture σμαραγδαχάτην.

1183. συνόδεντα ms. Correxit Miller.

1186 αἴνεμος, adjectif inconnu ou altéré ?

1188. χερονίτην] « Lisez χελωνίτην. »

1190-2. Note (inédite) en marge du ms. : Λίθος ὃν ἐφόρει Σολομῶν ἐν τῷ δακτυλιδίῳ αὐτοῦ.

1196. τὰς] lecture de Miller ; τοὺς (?) ms. — ποθήσαντας ms. — L'auteur mentionne encore une pierre précieuse au vers 1198 :

Τὰ ταύτης δὲ κανόνια λίθος ὀφίτης ἦσαν...

ADDITIONS ET CORRECTIONS

Page 3, l. 9. Lire ὅρκον.

Page 6, l. 10. Titre dans le ms. I : Βίβλος θεραπευτικὴ κατὰ στοιχεῖον περὶ τῆς δυνάμεως τῆς βρυονίας, ἀετοῦ τοῦ πτηνοῦ καὶ ἀετίτου λίθου καὶ ἀετοῦ ἰχθύος κοινῆς καὶ ἰδίας. — l. 15. ἡ πρώτη] καὶ πρώτη I. — ἥτις ἐστὶν ἡθ. I.

Page 9, l. 6. Lire καθαίρει. — l. 13. Lire τριώβολον. — l. 32. Lire ἔπειτα.

Page 16, l. 7. Lire μυελὸν.

Page 18, l. 13. Lire φοινικόπτερος.

Page 21, l. 19. Lire ἐπειδὴ.

Page 30, l. 8. Lire αἱμορροϊκὰ ἄνωθεν.

Page 31, l. 9. Lire τροχοῦ.

Page 33, l. 17. Lire χειμῶνες.

Page 31, l. 21. Ajoutez en note : Lire πυρώδη.

Page 39, l. 21. Lire σέλινον.

Page 45, l. 21. Lire πυρῶδες (*sic*).

Page 47, l. 5. Lire χυλὸν. — l. 10. μεσιτείαν] F. l. μισητίαν. Le v. i. a lu cependant μεσιτείαν et traduit : *amorem et pacem.*

Page 51, l. 1. Le ms. 2502 de la Bibliothèque nationale (M) contient un texte désigné en ces termes dans l'Inventaire sommaire de M. H. Omont : *Ejusdem* (sc. Hermetis Trismegisti) *liber ad eumdem* (sc. Asclepium) *de animalium proprietatibus et remediis quae ex illis peti possunt, cum figuris* (fol. 30 v°). Ce texte n'est autre chose qu'une rédaction à peine différente, — mais souvent plus complète que notre texte grec — des livres III, II et IV des *Cyranides,* placée sous le nom d'Hermès Trismégiste et accompagnée de nombreux dessins au trait. Nous nous proposons de revenir ailleurs sur cette rédaction et d'en noter les différences d'avec notre édition. Le ms. M a pu être copié, pour cette partie, sur le Codex medicus graecus L de la Bibliothèque impériale de Vienne. (Voir le catalogue de Lambécius, éd. Kollar, l. VI, 2e partie.) Nous indiquons ci-après les textes que nous avons publiés d'après le vieil interprète latin et qui sont restitués par le ms. M.

Page 56, l. 16. Extrait du ms. de la Bibl. nat. 2510, fol. 83 r. (Corrigendis correctis.)

τξς. Βατράχου τὸν ἔμπροσθεν δεξιὸν πόδα ἐκτίλας περίαπτε τῷ τριταΐζοντι περιοδικῶς, καὶ τὸν χλωρὸν δὲ βάτραχον περίαπτε τεταρταΐζοντι.

Τοῦ αὐτοῦ δὲ χλωροῦ βατράχου τοὺς ὀφθαλμοὺς ἄρας ζῶντος ἀπ' αὐτοῦ, καὶ δήσεις εἰς λινὸν ῥάκος, καὶ περιάψαι <ὀφθαλμοῖς?> τινός · φυλαχθήσονται οἱ ὀφθαλμοὶ αὐτοῦ ἀβλαβεῖς πάντοτε.

Ἡ δὲ καρδία αὐτοῦ περιαπτομένη ῥηγία ἴαται.

Τὰ δὲ ἐντὸς αὐτοῦ ληφθέντα κρυπτῶς καὶ περιαπτόμενα νοσοῦντι, εἰ μὲν ἔχει πρὸς ζωήν, ἀπύρετον ποιεῖ παραχρῆμα.

— L. 18. Leçon du ms. M : ΧΟΥ῀.Ε.ΧΕ΄. ΔΑΒΗΝΑ΄Φ.

Page 56, l. 23, lire τὰς πυρκαιάς.

Page 57, l. 22. En note : *In ora, i. idacuia i. joa. Q. a. VIII. irayo og. j. voi. kook* ξ I *coochi* v. i.

Page 66. (Περὶ λαγώου). On retrouve le texte grec des §§ 12, 13 et 16 dans le ms. M. (Texte de trois *Cyranides* attribué à Hermès.)

Page 68. (Περὶ μύρμηκος). Texte grec des §§ 1 et 2 dans M.

Page 69, l. 4. Xilonatis] ξυλόβατος M, ms. qui donne le texte grec des §§ 1, 2 et 4.

Page 77, l. 25, (note). Lire εἰς addidi; in homine v. i.

Page 81, l. 6. Lire ἱπταμένου.

Page 95, ligne 30. Lire ἐκ πληγῆς avec M.

Page 99, ligne 19. F. l. λύσις.

Page 105, l. 12. Texte grec du § 10 dans M.

Page 107, l. 1 (note). Texte grec de l'addition du v. i. dans M. — l. 4 (note) et l. 12 (note). Texte grec des additions latines *ibid.*

Page 108, l. 23. Lire οὐρίᾳ (sc. πνοῇ).

Page 109, l. 28. Lire νεμόμενα.

Page 111, l. 3-7. Texte grec des §§ 3 et 4 dans M.

Page 112, l. 14-18. Texte grec des §§ 11 et 11 *bis ibid.*

Page 113, l. 1 et 2. Lire 113 *bis* et 114 *bis*.

Page 118, l. 5. Texte du § 3, plus complet que l'addition latine dans M. — l. 21. Texte grec du § 5 *ibid.*

Page 119, l. 2. Texte grec plus complet *ibid.* — l. 12 (note). Texte grec *ibid.*

Page 120, ligne 14. Lire ἀφειλόμην. — Supprimer la note.

Page 122, §§ 1, 2, 5, texte grec dans M. — Lire Χάννος dans la note.

Page 123, §§ 20, 21, 22 ; l. 22 (lire Psari) et l. 27 (note). Texte grec dans M.

Page 136, article 25. Lire ΑΙΜΑΤΙΤΗΣ, 642-685. — ΑΙΠΑΡΑΙΟΣ, 686-747.

Page 170, l. 6. Premier morceau du ms. B, à rapprocher du texte grec et des additions du vieil interprète :

<N>υκτερὶς ἡ καὶ ῥομφαία καλουμένη πᾶσι γνωστή · ζῶον γάρ ἐστι καὶ πτηνόν · ἵπταται μὲν γὰρ ὡς χελιδὼν ἐν νυκτί, τῇ δὲ ἡμέρᾳ κρύπτεται, διὸ καὶ καλεῖται νυκτερίς. Τίκτει δὲ ὡς τετράποδον, καὶ θηλάζει ὡς μῦς. Ταύτης τὸ αἷμα ὠφελεῖ ὀφθαλμικοὺς ὅτε τρίχας ἔχουσι, ταύτας γὰρ ἀνασπάσας πρῶτον καὶ τοῖς τόποις ἐπιχρίσας, οὐκέτι ἄλλαι φύσονται, ἀλλὰ καὶ ἐν βλεφάρῳ

ἐὰν προεκτίλας ἐπιχρίσῃς · ἐὰν δέ τις τὸ αἷμα κροκίδι δεξάμενος ἀπόθηται πρὸς κεφαλῆς ἀγνοούσης γυ<ναι>κὸς καὶ συγκίνεται (lire συγγίνηται) αὐτῇ, εὐθέως συλλήψεται.

Deuxième morceau : <Σ>ίδηρον οὕτως δραστικῇ βαφῇ βάφε · κέρας ἐλάφου λάβε μι (λίτρας ?) κε̅ · ἀνθρωπίνῳ σύμμιξον αἵματι τόδε. Ἀργυρίτην λίθον τε καὶ σιδηρίτην.......... γάλακτι, σιδήρου λίπος, οὔρῳ δ' ἐνώσας ταῦτα παιδὸς ἀφθόρου τετριμμένα κάλλιστα καὶ πεφρυγμένα εἰς σίδηρον εὐστόχως καὶ πανσόφως · αὕτη γὰρ ἀπόκρυφός ἐστι βαφή τε καὶ δραστικὴ πάνυ γε τοῖς κεκτημένοις.

Troisième morceau : Πρὸς τὸ κυνηγῆσαι ἐν ὄρεσι ζῶα ἄγρια. Λαβὼν τὸν ὄφιν τὸν τυφλητὴν καὶ μέσον σχίσας εὕρῃς (l. εὕροις ?) ἐν αὐτῷ ὕπαρ (l. ἧπαρ) (?) μακρόν (?) τοῦτο λαβὼν καὶ ξηράνας, ἔχε. Ὅταν δὲ βούλοιο ἀπελθεῖν πρὸς τὴν θήραν, λαβὼν ἐκ τούτου τοῦ ἥπατος, κάπνισον τήν τε φαρέτραν καὶ τὸ τόξον, ἀλλὰ καὶ τὰ ἐνδύματα ἃ βούλοιο φορεῖν ἐν τῇ ὁδῷ ταύτῃ · ἔστωσαν ἕτερα καὶ οὐχ αὐτὰ τὰ ἐν οἴκῳ φορούμενα καὶ ἄστυι · κρέμασον ταῦτα ἐν τόπῳ τινὶ ἀφωρισμένῳ, πλὴν μὴ ἐν οἴκῳ, ἀλλ' ἐν τῷ ἀέρι · καὶ κόψον ὀλίγον ἀπὸ τὸ ἧπαρ καὶ κάπνισον ἄμφω ὅλα. Εἶθ' οὕτως ἐνδυσάμενος ἀπέρχου ἐν τῷ κυνηγησίῳ καὶ τοξεύεις τὰ ζῶα ὅσα δὴ καὶ θέλεις, μηδενὸς σὲ ὁρῶντος.

Page 171, l. 9. Article γαγάτης dans les *Notha Dioscoridis*, fragments publiés par Antoine Sarrasin [1] dans son édition de la *Matière médicale* (1598, in-folio).

P. 386 B, d'après le manuscrit de Sambucus, à la suite de l'article γαγάτης : Φασὶ δὲ διακριτικὸν εἶναι τῆς ἱερᾶς νόσου. Τούτου γὰρ ὀσφραινομένου ἐν ἀκμῇ φέροντας κατὰ γῆς οὐ πίπτειν [2] · καὶ γυναικῶν δὲ νόσους κρυφίους ἰᾶσθαι θυμιώμενον, δεχομένων αὐτοῦ τὴν πνόην [3].

Page 181, l. 10. Article μελιτίτης dans les *Notha Dioscoridis*, p. 386 F. Note marginale de Sarrasin : Pro iis quae leguntur in textu vetustiores quidam codices magica haec habent. Samb.

Ὁ δὲ μελιτίτης ὠνόμασται καὶ γαλακτίτης καὶ ληθαῖος, ὅτι φέροντες αὐτὸν καὶ προσιόντες τοὺς οἰκείους δεσπότας εὐμενεῖς αὐτοὺς εὑρίσκουσι καὶ λήθην λαμβάνοντας τῶν αὐτῶν πολλάκις κακῶν, αἰγῶν τε καὶ προβάτων ἀποσβεννυμένου τοῦ γάλακτος, εἴ τις αὐτὸν λεαίνῃ μεθ' ἅλμης μίξας, βοηθεῖ τὸ ποίμνιον. Λέγουσι δὲ καὶ ὅτι γυναιξὶ τὸ αὐτὸ δύναται πρὸς γαλακτοφορίαν τριβόμενος καὶ πινόμενος. Ἀλλὰ καὶ περὶ αὐχένος ἐν τοῖς νηπίοις καταδεδεσμευμένος ἀπείργει φθόνον καὶ ἄνοσον σώζει καὶ ἀνεπιβούλευτον φυλάττει τὸν νήπιον, καὶ ὅτι τὸν τοῦτον φοροῦντα καὶ βασιλεῖς αἰδοῦνται καὶ δικασταί, καὶ ἡδεῖς πᾶσι δοκοῦσιν [4].

Page 201-204 (Michel Psellus). Nous retrouvons au dernier moment une lettre qui nous a été adressée de Goettingue par M. W. Krönert, étudiant en philosophie, le 27 juillet 1895 et qui contient une collation complète du περὶ λίθων sur le codex monacensis 105. Nous en extrayons les principales variantes.

P. 201, l. 15. κραταῖος] κράτερος. — P. 202, l. 4. γενόμενον] γεννώμενον. — L. 20.

1. Fragments désignés en ces termes par Sarrasin (p. 475) : Inter Dioscoridis verba haec in quibusdam codicibus falso adscripta reperiebantur.

2. Sarrasin a proposé à tort de supprimer οὐ.

3. Cp. Pline, *H. N.*, XXXVI, 34.

4. Cp. Pline, *H. N.*, XXXVI, 33. Voir ci-dessus, p. 188, le § 28 du Pseudo-Hippocrate.

γὰρ] δὲ, f. mel. — 24. ὀλίγου] ὀλίγον. — 25. ὑποπορφυροῦσα. — 28. ἤδε] ἡ δὲ. — 30-31. τὴν δὲ χροιὰν. — P. 203, l. 6. Post ὀστρακώδης] verba ὁ δὲ πορφύρεται add. — 9. μαγνίτης] μάγνης. — 13. ἀναφέρει] ἀναφαίνει. — 19. μέσον. — 21. μελαγχολικοὺς. — 22. ἔχων ἔνδον συναυξ. — 24. δείκνυσιν. — 26. γλαυκοῦ] λευκοῦ. — 28. πινομένη δὲ καὶ. — P. 204, l. 8. πελαγίᾳ] πλαγίᾳ]. — 9. ὁ ἥλιος.

Page 202, l. 30. Lire δάκτυλος.

Page 206, vers 1132. Lire Ἀνθρακίτην.

INDEX

Les noms de matières sont en petite romaine.
Les titres bibliographiques en *italique*.
Les noms de personnes en PETITES CAPITALES.
Une * indique les mots qui manquent dans les lexiques.
Pour les mots qui manquent dans les lexiques, le premier chiffre indique la page et le second la ligne.

A

B

Γ, G

Δ, D

E

Z

H

Θ

I

K, C

Λ

ΛΙΘΟΙ

SUITE DE Λ.

M

N

Ξ, X

O

Π, P

Ρ, R

Σ, S

T

Υ

Φ, F

Χ, Ch.

Ψ, Ps.

Ω

Le Puy-en-Velay. — Imprimerie R. Marchessou, 23, boulevard Carnot.



LE PUY-EN-VELAY. — IMPRIMERIE RÉGIS MARCHESSOU, BOULEVARD CARNOT, 23.


6




U.C. BERKELEY LIBRARIES
C034713720
Storage
- 145

